UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Homeri Ilias

### Homerus

### Lipsiae, 1876

18. Buch

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-2532

Visual Library

ὣϲ αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίϲϲω
Τρώων· οἳ δ᾽ ἅμ᾽ ἕποντο, δύω δ᾽ ἐν τοῖϲι μάλιϲτα,
Αἰνείαϲ τ᾽ Ἀγχιϲιάδηϲ καὶ φαίδιμοϲ Ἕκτωρ.
τῶν δ᾽, ὥϲ τε ψαρῶν νέφοϲ ἔρχεται ἠὲ κολοιῶν,
οὖλον κεκλήγοντεϲ, ὅτε προΐδωϲιν ἰόντα
κίρκον, ὅ τε ϲμικρῇϲι φόνον φέρει ὀρνίθεϲϲιν,
ὣϲ ἄρ᾽ ὑπ᾽ Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκλήγοντεϲ ἴϲαν, λήθοντο δὲ χάρμηϲ.
πολλὰ δὲ τεύχεα καλὰ πέϲον περί τ᾽ ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ᾽ οὐ γίγνετ᾽ ἐρωή.

---

# ΙΛΙΑΔΟϹ Ϲ.

Ὣϲ οἳ μὲν μάρναντο δέμαϲ πυρὸϲ αἰθομένοιο,
Ἀντίλοχοϲ δ᾽ Ἀχιλῆι πόδαϲ ταχὺϲ ἄγγελοϲ ἦλθε.
τὸν δ᾽ εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων
τὰ φρονέοντ᾽ ἀνὰ θυμόν, ἃ δὴ τετελεϲμένα ἦεν·
ὀχθήϲαϲ δ᾽ ἄρα εἶπε πρὸϲ ὃν μεγαλήτορα θυμόν·
ὤ μοι ἐγώ, τί τ᾽ ἄρ᾽ αὖτε κάρη κομόωντεϲ Ἀχαιοὶ
νηυϲὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέϲωϲι θεοὶ κακὰ κήδεα θυμῷ,

---

V. L. 752 μάχην ἀνέεργον αἴαντε ὀπίϲϲω C. ἐνέργον ὀπίϲω E. — 753 τρῴων L. οἵδ᾽ ACDGHL. — 755 ψαρῶν γένοϲ H Vrat. d. — 756 κεκλήγοντεϲ libri mei: κεκληγότεϲ Lips. Vrat. A. apud Heynium discrepantiam lectionis video nullam. — 757 ὅϲ τε DG. ὅϲ τιϲ L Lips. ϲμικροῖϲι Barocc. Cant. Mor. μικρῇϲι Townl. — 758 ἆρ ADEGH. ὑπ᾽: ἐπ᾽ H Vrat. d. αἰνείαν τε καὶ ἕκτορα Townl. — 759 κεκλήγοντεϲ ut supra: κεκληγότεϲ Lips. Vrat. A. ἦϲαν C. δὲ omitt. L. — 760 τε omitt. L. τάφρωι D Vat. — 761 γίγνετ᾽ EL Rom.: γίνετ᾽ ACDGH.

---

A. c. 757, 759 κεκλήγοντεϲ et κεκληγῶτεϲ Aristarchus διχῶϲ? conf. ad Μ 125. Π 430. H. T. 296.

---

V. L. 1 μάρναντο πυρὸϲ μένοϲ H Vrat. d. — 2 ἀχιλλῆϊ D ἦλθε ACDEG. — 4 εἶεν C 1. man. — 5 εἶπεν D. — 6 ὤιμοι AC. ᾤμοι E 1127, 54. 1128, 4; 6; 31. τί ταρ A. τί τὰρ H. τί γὰρ Barocc. τί τ᾽ ἆρ CDGL. κάρη κομόωντεϲ AH: ceteri καρηκομόωντεϲ. — 7 ἐπικλονέονται CDEGHL. ἐπικλονέουϲι Cant. — 8 τελέῃϲι θεὸϲ E. κακὰ μήδεα HL Lips. Vrat. d. θυμοῦ Lips.

---

A. c. 7 νηυϲὶν ἔπι Herodianus.

ὥϲ ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε
Μυρμιδόνων τὸν ἄριϲτον ἔτι ζώοντοϲ ἐμεῖο
χερϲὶν ὕπο Τρώων λείψειν φάοϲ ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμοϲ υἱόϲ,
ϲχέτλιοϲ· ἦ τ' ἐκέλευον ἀπωϲάμενον δήιον πῦρ
ἂψ ἐπὶ νῆαϲ ἴμεν, μὴ δ' Ἕκτορι ἶφι μάχεϲθαι.
εἶοϲ ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρά οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέϲτοροϲ υἱὸϲ
δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
ὤ μοι Πηλέοϲ υἱὲ δαΐφρονοϲ, ἦ μάλα λυγρῆϲ
πεύϲεαι ἀγγελίηϲ, ἣ μὴ ὤφελλε γενέϲθαι.
κεῖται Πάτροκλοϲ, νέκυοϲ δὲ δὴ ἀμφιμάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολοϲ Ἕκτωρ.
ὣϲ φάτο, τὸν δ' ἄχεοϲ νεφέλη ἐκάλυψε μέλαινα.
ἀμφοτέρῃϲι δὲ χερϲὶν ἑλὼν κόνιν αἰθαλόεϲϲαν
χεύατο κὰκ κεφαλῆϲ, χαρίεν δ' ᾔϲχυνε πρόϲωπον·
νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
αὐτὸϲ δ' ἐν κονίῃϲι μέγαϲ μεγαλωϲτὶ τανυϲθεὶϲ
κεῖτο, φίλῃϲι δὲ χερϲὶ κόμην ᾔϲχυνε δαΐζων.
δμῳαὶ δ', ἃϲ Ἀχιλεὺϲ ληίϲϲατο Πάτροκλόϲ τε,
θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερϲὶ δὲ πᾶϲαι
ϲτήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάϲτηϲ.
Ἀντίλοχοϲ δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων,
χεῖραϲ ἔχων Ἀχιλῆοϲ· ὃ δ' ἔϲτενε κυδάλιμον κῆρ·

V. L. 9 ἔειπε ACDGH. — 11 ὑπὸ ACEGHL. τρῴων L. — 12 δὴ omitt. H. — 13 ἤ τ' D. — 14 νῆαϲ ἐπ' ἂψ ἰέναι CDE bis L Cant. Mor. Barocc. Lips. Vat. Harl. Frgm. Mosc. Vrat. b. A. Rom. νῆαϲ ἔπ' A. νῆαϲ ἔπ' S. lectio Aristarchea est in cod. H et fortasse in Vrat. d. μὴ δ' ACGHL: μηδ' D Schol. Π 93. μηδὲ E. — 15 * εἶοϲ: ἕωϲ ACDEGHL. conf. ad A 193. ὃ CDGHL. κατα A. — 16 τόφρά οἱ ACDHL. — 18 ὤιμοι AC. ᾤμοι E. πηλέωϲ E. — 19 πεύϲεται Apoll. Soph. 7. 11. — 20 κοῖται G. δὲ διαμφιμάχονται Townl. — 21 κορυθαιόλοϲ ADEG Rom. — 24 κὰκ κεφαλῆϲ E: κακκεφαλῆϲ ACDL post ras. Vrat. A. Et. Mg. 528, 31. κἀκκεφαλῆϲ GHL 1. man. (?). — 25 μέλαινα Lips. — 26 κονίῃ E. — 27 φίλην δέ τε χερϲὶ Cant. — 28 δμῳαὶ L 1. man. δμωαὶ ceteri et L post ras. ἀχιλλεὺϲ DE bis G. ληῖϲατο CDE bis Cant. Lips. Vrat. A. — 31 ὑπο AHL Vrat. b. — 33 ἀχιλλῆοϲ D ex corr. ὅδ' CDGHL.

A. c. 10, 11 ἐν τῇ Ῥιανοῦ καὶ Ἀριϲτοφάνουϲ οὐκ ἦϲαν οἱ δύο Schol. A. — 14 ἀρίϲταρχοϲ ἂψ ἐπὶ νῆαϲ ἴμεν Didymus. Ἀρίϲταρχοϲ καὶ Ἀριϲτοφάνηϲ ἂψ ἐπὶ νῆαϲ ἴμεν Schol. AV. — 28 δμῳαὶ veteres.

δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήϲειε ϲιδήρῳ.
ϲμερδαλέον δ' ᾤμωξεν· ἄκουϲε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεϲϲιν ἁλὸϲ παρὰ πατρὶ γέροντι,
κώκυϲέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο,
πᾶϲαι, ὅϲαι κατὰ βένθοϲ ἁλὸϲ Νηρηΐδεϲ ἦϲαν.
ἔνθ' ἄρ' ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε
Νηϲαίη Ϲπειώ τε Θόη θ' Ἁλίη τε βοῶπιϲ,
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυή,
Λωτώ τε Πρωτώ τε Φέρουϲά τε Δυναμένη τε,
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα,
Δωρὶϲ καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτήϲ τε καὶ Ἀψευδὴϲ καὶ Καλλιάναϲϲα·
ἔνθα δ' ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάναϲϲα,
Μαῖρα καὶ Ὠρείθυια ἐυπλόκαμόϲ τ' Ἀμάθεια
ἄλλαι θ', αἳ κατὰ βένθοϲ ἁλὸϲ Νηρηΐδεϲ ἦϲαν.
τῶν δὲ καὶ ἀργύφεον πλῆτο ϲπέοϲ· αἳ δ' ἅμα πᾶϲαι
ϲτήθεα πεπλήγοντο, Θέτιϲ δ' ἐξῆρχε γόοιο·
    κλῦτε καϲίγνηται Νηρηΐδεϲ, ὄφρ' ἐὺ πᾶϲαι
εἴδετ' ἀκούουϲαι, ὅϲ' ἐμῷ ἔνι κήδεα θυμῷ.
ὤ μοι ἐγὼ δειλή, ὤ μοι δυϲαριϲτοτόκεια,

V. l. 34 ἀπαμήϲειε Townl. ceteri ἀποτμήξειε cum Eust. 1129, 49. Cram. Ep. 106, 19. 120, 5. ἀποτμήϲειε Eust. 1129 55. ἀποτμήϲῃ Et. Mg. 260, 11. — 35 ϲμαρδαλέον S. — 36 βένθεϲιν E Lips. — 37 κώκυϲέ E. ἂρ ACDEGHL. ἀμφ' ἀγέροντο D Cant. ἀμφἀγέροντο A. hunc et sequentem vs. omitt. S. — 39 ἂρ ADGH. ἔνθ' ἄρα ἦν γλαύκεια L Lips. — 42 ἀγαυὴ ACDGL. — 45 ἀγακλυτὴ L. — 46 ἀψευδῆϲ G. — 47 ἔνθα δ' ἔην ACDHLS Cant. Lips. Vat. Frgm. Mosc. Vrat. b. d. A. ἐνθάδ' έην Townl. Harlei. ἔνθα δε ἦν G. ἔνθα δὲ ἦν edd. vett. — 48 εὐπλόκαμοϲ DE. ἀμάθυια ACDLS Mor Harl. Townl. Lips. Vrat. b. et codex Battavus, vid. Valcken. ad Ammon. pg 166 τινὲϲ Ἀμάθυιαν ἐτόλμηϲαν γράφειν Eust. 1130, 57. ἀμάθεια GH Eust. 1130, 2; 57. Suidas II, 1, 1269, 12. — 49 ἄλλαί θ' A. — 50 αἶδ' CDGHL. — 52 καϲίγνητοι HL Lips. εὖ libri. — 53 ἔνι EGHL. ἐνι ACD. — 54 ᾤμοι bis ACE. ὦμοι ἐγὼ Et. Mg. 261, 31. δυϲαριϲτοτόκεια A.

A. c. 34 ἀποτμήξειε: οὕτω Ζηνόδοτοϲ. ἀρίϲταρχοϲ ἀπαμήϲειε. conf. φ 301. fallitur Schol. V Ἀρίϲταρχοϲ ἀποτμήϲειε. — 39—49 ο τῶν Νηρεΐδων χόροϲ προηθέτηται καὶ παρὰ Ζηνοδότῳ. ὁ δὲ Καλλίϲτρατοϲ οὐδὲ ἐν τῇ Ἀργολικῇ φηϲὶν αὐτοὺϲ φέρεϲθαι Schol. A. cf. Eust. 1131, 20. — 39 Γλαύκη Aristarchus βαρυτόνωϲ. Θάλεια: ἀρίϲταρχοϲ χωρὶϲ τοῦ θ ἄλεια παρὰ τὴν ἅλα Didymus. — 42 Ἀγαυή, vide Herod. ad. I 150. O 445. — 44 Δεξαμένη: τινὲϲ ὀξυτόνωϲ Schol. B. — 46 Νημερτὴϲ et Ἀψευδὴϲ Aristarchus ὀξυτόνωϲ. — 53 ἔνι: ἀριϲτοφάνηϲ ἐπικήδεα (?) Didymus.

ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε,
ἔξοχον ἡρώων· ὃ δ' ἀνέδραμεν ἔρνεϊ ἶϲοϲ·
τὸν μὲν ἐγὼ θρέψαϲα, φυτὸν ὣϲ γουνῷ ἀλωῆϲ,
νηυϲὶν ἐπιπροέηκα κορωνίϲιν Ἴλιον εἴϲω
Τρωϲὶ μαχηϲόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτιϲ
οἴκαδε νοϲτήϲαντα, δόμον Πηλήιον εἴϲω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάοϲ ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραιϲμῆϲαι ἰοῦϲα.
ἀλλ' εἶμ', ὄφρα ἴδωμι φίλον τέκοϲ, ἠδ' ἐπακούϲω,
ὅττί μιν ἵκετο πένθοϲ ἀπὸ πτολέμοιο μένοντα.
ὣϲ ἄρα φωνήϲαϲα λίπε ϲπέοϲ· αἱ δὲ ϲὺν αὐτῇ
δακρυόεϲϲαι ἴϲαν, περὶ δέ ϲφιϲι κῦμα θαλάϲϲηϲ
ῥήγνυτο. ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰϲανέβαινον ἐπιϲχερώ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέεϲ ταχὺν ἀμφ' Ἀχιλῆα.
τῷ δὲ βαρὺ ϲτενάχοντι παρίϲτατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύϲαϲα κάρη λάβε παιδὸϲ ἑοῖο,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προϲηύδα·
τέκνον, τί κλαίειϲ; τί δέ ϲε φρέναϲ ἵκετο πένθοϲ;
ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεϲται
ἐκ Διόϲ, ὡϲ ἄρα δὴ πρίν γ' εὔχεο χεῖραϲ ἀναϲχών,
πάνταϲ ἐπὶ πρυμνῆϲιν ἀλήμεναι υἷαϲ Ἀχαιῶν,
ϲεῦ ἐπιδευομένουϲ, παθέειν τ' ἀεκήλια ἔργα.
τὴν δὲ βαρὺ ϲτενάχων προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·

V. L. 55 ἥ τ': ἣ E. — 56 ὅδ' CDGL. — 57 ὡϲ A. ἀλωιῆϲ A: ceteri ἀλωῆϲ. — 58 κορωνῆιϲιν D. — 59 τρῳϲὶ L. αὖθϊϲ C. — 61 ζώιη C. ζώῃ Harl. Vat. Townl. ἠελίοιο D. — 62 οὐδέ τι οἱ ACDGHL. χραιϲμῆϲαι ὄλεθρον H Vrat. d. — 63 ἴδωμι AD: ἴδοιμι CELS Cant. Mor. Barocc. Harl. Vat. Lips. Townl. Frgm. Mosc. Vrat. A. ἴδωμαι GH Vrat. d. Flor. Rom. — 64 ὅττί μιν AC. ἀπο CDS. ἄπο E Lips. Flor. Rom. Bekk. An. 931, 21. — 65 ὡϲ A. λίπεν H. αἳ δὲ C. — 66 περι D. δέ ϲφηϲι D. δέ ϲφι CS Lips. δέ ϲφιν L. — 68 εἰϲ ἀνέβαινον D. εἰϲανέβηϲαν A. γρ. εἰϲ ἀνέβηϲαν A. ἐπιϲχαιρῶ L Lips. ἐπὶ ϲχερῶ CG. ἐπὶ ϲχερῶ D. — 69 ἀχιλλῆα D. — 70 βαρὺ ϲτενάχοντι AH Frgm. Mosc. Schol. A 364. βαρυϲτενάχοντι CDEGL. — 71 ἑῆοϲ Cant. Harl. Vat. ἑοῖο D. ἑοῖο ACGHLS Pseudoplut. 144, 24. ἑοῖο ἢ μᾶλλον ἑῆοϲ Eust. 1131, 44, ὃ δαϲύνεται παρὰ πολλοῖϲ teste Eust. 1131, 45. — 72 ῥ' omitt. Vrat. d. — 73 δέ ϲευ S. — 74 ἐξαῦδα D. — 75 ὧ ἄρα LS Harl. Vat. — 76 πρύμνηϲιν libri. ἀλήμεναι CGL Lips. — 77 τ' omitt. D. — 78 τήνδε G. βαρὺ ϲτενάχων AH Vrat. d. ceteri βαρυϲτενάχων. ἀχϊλεύϲ C.

A. c. 57 ἀλωῆϲ conf. H. U. 212. — 63 ἴδωμι, conf. H. U. 250. — 64 ἀπὸ: Ἀρίϲταρχοϲ φυλάττει τὸν τόνον Herodianus.

μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεϲϲεν·
ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ᾽ ἑταῖρος
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶϲον ἐμῇ κεφαλῇ· τὸν ἀπώλεϲα, τεύχεα δ᾽ Ἕκτωρ
δῃώϲαϲ ἀπέδυϲε πελώρια, θαῦμα ἰδέϲθαι,
καλά· τὰ μὲν Πηλῆι θεοὶ δόϲαν ἀγλαὰ δῶρα
ἤματι τῷ, ὅτε ϲε βροτοῦ ἀνέροϲ ἔμβαλον εὐνῇ.
αἴθ᾽ ὄφελεϲ ϲὺ μὲν αὖθι μετ᾽ ἀθανάτῃϲ ἁλίῃϲι
ναίειν, Πηλεὺϲ δὲ θνητὴν ἀγαγέϲθαι ἄκοιτιν.
νῦν δ᾽, ἵνα καὶ ϲοὶ πένθοϲ ἐνὶ φρεϲὶ μυρίον εἴη
παιδὸϲ ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτιϲ
οἴκαδε νοϲτήϲαντ᾽, ἐπεὶ οὐδ᾽ ἐμὲ θυμὸϲ ἄνωγε
ζώειν οὐδ᾽ ἄνδρεϲϲι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτοϲ ἐμῷ ὑπὸ δουρὶ τυπεὶϲ ἀπὸ θυμὸν ὀλέϲϲῃ,
Πατρόκλοιο δ᾽ ἕλωρα Μενοιτιάδεω ἀποτίϲῃ.
τὸν δ᾽ αὖτε προϲέειπε Θέτιϲ κατὰ δάκρυ χέουϲα·
ὠκύμοροϲ δή μοι τέκοϲ ἔϲϲεαι, οἷ᾽ ἀγορεύειϲ·
αὐτίκα γάρ τοι ἔπειτα μεθ᾽ Ἕκτορα πότμοϲ ἑτοῖμοϲ.
τὴν δὲ μέγ᾽ ὀχθήϲαϲ προϲέφη πόδαϲ ὠκὺϲ Ἀχιλλεύϲ·
αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ᾽ ἔμελλον ἑταίρῳ
κτεινομένῳ ἐπαμῦναι· ὃ μὲν μάλα τηλόθι πάτρηϲ
ἔφθιτ᾽, ἐμεῖο δὲ δῆϲεν ἀρῆϲ ἀλκτῆρα γενέϲθαι.

V. l. 80 ἦδοϲ D Lips. ἐπεὶ φίλον ὤλεϲ᾽ ἑταῖρον πάτροκλον Vrat. A. — 81 περῒ C. πέρι HL. τίον H Lips. — 82 ἀπώλεϲϲα H. — 83 δηϊώϲαϲ GH Flor. διώϲαϲ Lips. — 85 ἤματι DG. — 86 αἴθ᾽ ACD: ὡϲ EG HS Apoll. de Synt. 249, 28. ὧϲ L. ὡϲ ὄφελεϲ A in marg. ἁλίῃϲι ACD GHL. — 88 εἴη libri. — 89 ἀπὸ φθιμένοιο Vrat. d. αὖθιϲ CDG. — 90 οὐδέ με DEHS Vrat. A. οὐδὲ ἐμὲ G. ἄνωγε EGLS Lips. ἀνώγει CD Barocc. Mor. Vrat. b. A. — 92 τυπεὶϲ: δαμεὶϲ L. ἀπο CHL. — 93 μενοιτιάδαο AES Cant. Rom. ἀποτίϲει H Vrat. d. — 94 ἐν ἄλλῳ τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα A. κατα A. καταδακρυχέουϲα C. καταδακρυχέουϲα DGHL Syr. — 95 τέκνον ἔϲεαι D. ἀγοράζειϲ Diog. Laert. VI. 2, 6. — 97 τήνδε G. ἀχῖλεύϲ C. τὴν δ᾽ αὖτε προϲέειπε ποδάρκηϲ δῖοϲ Ἀχιλλεύϲ Aeschines adv. Timarchum § 150. — 98 ἆρ ADGHL. — 99 ὃ μὲν D. ἐπαμῦναι ὅ μοι πολὺ φίλτατοϲ ἔϲκεν Aeschines. — 100 ἐμοῖο G Barocc. δὲ, δῆϲεν A. δὲ δῆϲεν CDEGL et Heynii libri fere omnes. Schol. Ξ 485. Et. Mg. 138, 2. Et. Gud. 216, 47. Eust. 1139, 12. δὲ δῆϲεν H et ex corr. δ᾽ ἔδηϲεν.

A. c. 88 εἴη: ἤῃ? — 92 ὑπὸ: ὕπο Herodianus. idem ἀπὸ. — 100 τὸ δὲ δῆϲεν προπεριϲπαϲτέον τὸ δῆϲεν. τὸ γὰρ ε̄ τοῦ δέ ἐϲτι Schol. V. τὸ δὲ δῆϲεν ϲυνδιϲϲύλλαβον ἐκδεκτέον ποιητικόν, καὶ τὸ ε̄ τοῦ προκειμένου ἐϲτὶ ϲυνδέϲμου Herodianus. ἀρῆϲ Ptolem. Ascalonita, Herodianus, αἱ εἰκαιότεραι: Ἄρεω Aristarchus teste Didymo (ἀρίϲταρχοϲ διὰ τοῦ ω̄ ἄρεω). conf. Et. Mg. 138, 2. Eust. 1133, 10. Schol. Ξ 485.

νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐc πατρίδα γαῖαν,
οὐδέ τι Πατρόκλῳ γενόμην φάοc οὐδ' ἑτάροιcι
τοῖc ἄλλοιc, οἳ δὴ πολέεc δάμεν Ἕκτορι δίῳ,
ἀλλ' ἧμαι παρὰ νηυcὶν ἐτώcιον ἄχθοc ἀρούρηc,
τοῖοc ἐών, οἷοc οὔ τιc Ἀχαιῶν χαλκοχιτώνων,
ἐν πολέμῳ· ἀγορῇ δέ τ' ἀμείνονέc εἰcι καὶ ἄλλοι.
ὡc ἔριc ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο,
καὶ χόλοc, ὅc τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅc τε πολὺ γλυκίων μέλιτοc καταλειβομένοιο
ἀνδρῶν ἐν cτήθεccιν ἀέξεται ἠύτε καπνόc·
ὡc ἐμὲ νῦν ἐχόλωcεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάcομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ cτήθεccι φίλον δαμάcαντεc ἀνάγκῃ.
νῦν δ' εἶμ', ὄφρα φίληc κεφαλῆc ὀλετῆρα κιχείω,
Ἕκτορα· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺc ἐθέλῃ τελέcαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆοc φύγε κῆρα,
ὅc περ φίλτατοc ἔcκε Διὶ Κρονίωνι ἄνακτι·
ἀλλά ἑ μοῖρ' ἐδάμαccε καὶ ἀργαλέοc χόλοc Ἥρηc.
ὣc καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείcομ', ἐπεί κε θάνω· νῦν δὲ κλέοc ἐcθλὸν ἀροίμην,
καί τινα Τρωιάδων καὶ Δαρδανίδων βαθυκόλπων
ἀμφοτέρῃcιν χερcὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην ἁδινὸν cτοναχῆcαι ἐφείην·

---

V. l. δ' ἔδηcεν S Syr. Cant. Vrat. A. Et. Mg. 138, 17. Apoll. Soph. 62, 26. ἀρῆc CDEGHLS Syr. et Heynii libri praeter Vrat. d. Apoll. Soph. 41, 27. 62, 26. Schol. Ξ 485. Et. Mg. 138, 17. Et. Gud. 216, 47. ἄρηc Vrat. d. Eust. 1139, 12. ἄρεω Et. Mg. 138, 2. ἀρῆc$^{εω}$ A. — 101 δ' omitt. G Flor. — 102 φόωc ἢ φάοc E. ἑτάροιcι ACDEGH Syr. — 103 οἳ δὲ G. — 104 νηυcὶ κορωνίcιν ἄχθοc Plato Apol. 28 D. — 105 οἷοc omitt. L Lips. — 106 ἀγορῇ δέ τι D. ἀμείνονεc εἰcὶ L. — 107 καὶ ἀνθρώπων Aristoteles Eth. Eud. III, 1. — 108 χαλεπῆναι H. — 111 ὣc D. — 114 Δ'$^{ε}$IM' Syr. (ε 2. man.). — 116 ἐθέλοι C ex corr. E. τελέccαι G Lips. ἠδ' D. τελέcαι καὶ Barocc. Mor. Vrat. A. — 117 οὐδὲ γὰρ βίη L Lips. — 118 ὅc περ: ὅc κεν Porphyrius ad Z 488. — 119 μοῖρ' ἐδάμαccε ACDEHS Barocc. Cant. Mor. Harl. Frgm. Mosc. Vrat. b. d. A. μοῖρα δάμαccε GL Lips. Flor. Porph. ad Z 488. ΜΟΙΡΑΔΑΜΑCCΕ Syr. — 121 ἀρά$^{οι}$μην H. — 122 δαρδανίων L. — 123 ἀμφοτέρῃcι DEH Frgm. Mosc. — 124 δάκρυ' ACEGHL: δάκρυ D Harl. Vat. Frgm. Mosc.

---

A. c. 124 scripsi δάκρυ' cum plerisque, conf. Ι 433. β 81. θ 88.

γνοῖεν δ', ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχης φιλέουςά περ· οὐδέ με πείςεις.
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
ναὶ δὴ ταῦτά γε τέκνον ἐτήτυμον οὐ κακόν ἐςτι,
τειρομένοις ἑτάροιςιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεςςιν ἔχονται,
χάλκεα μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
αὐτὸς ἔχων ὤμοιςιν ἀγάλλεται· οὐδέ ἕ φημι
δηρὸν ἐπαγλαϊεῖςθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
ἀλλὰ cὺ μὲν μή πω καταδύςεο μῶλον ἄρηος,
πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦςαν ἐν ὀφθαλμοῖςιν ἴδηαι·
ἠῶθεν γὰρ νεῦμαι ἅμ' ἠελίῳ ἀνιόντι
τεύχεα καλὰ φέρουςα παρ' Ἡφαίςτοιο ἄνακτος.
ὣς ἄρα φωνήςαςα πάλιν τράπεθ' υἷος ἑῆος,
καὶ ςτρεφθεῖς' ἁλίῃςι καςιγνήτῃςι μετηύδα·
ὑμεῖς μὲν νῦν δῦτε θαλάςςης εὐρέα κόλπον,
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός,
καί οἱ πάντ' ἀγορεύςατ'· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
εἶμι παρ' Ἥφαιςτον κλυτοτέχνην, αἴ κ' ἐθέλῃςιν

---

V. L. ΔΑΚΡΥ Syr. ὀμορξαμένην D. ἀδινὸν (ἀδινὰν) A: ceteri ἀδινὸν. ςτοναχῆςαι ADEHLS Syr. Rom. Eust. 178, 27. 1949, 28. Et. Gud. 603, 39. ςτοναχῖςαι C. ςτεναχῆςαι G Flor. — 125 ὡς δηρὸν δὴ L. δὴ omitt. C. πεπαύμην S Cant. Harl. Vrat. d. A. — 126 μὴ δέ ACGH. μὴ δ' ἔμ' L. — 127 τὸν δ' ἀπαμειβόμενος Vrat. A. — 128 τοῦτο DS. ταῦτα ἢ τοῦτο E. γε omitt. D. ἐςτι ACDEGH Syr. — 129 ἑτάροις E. — 130 τρῴεςςιν L. — 131 κορυθαιόλος A. κορυθαιόλος DGH Flor. Rom. — 132 ΟΥΔΈΈ Syr. οὐδέ ἕ φημὶ ACDEHL. οὐδὲ ἓ φημὶ G. — 133 ἀπαγλαϊεῖςθαι L Lips. φόβος (φόνος) H. — 136 omitt. D in textu. ἠῶθι L Lips. ἠελίωι καταδύντι D. — 137 φέρουςα|| D post ras. — 138 ὡς A. ἑῆος H Vrat. d. ἐῆος D Harl. Vat. ЄΗ̃ΟϹ Syr. ἑοῖο ACGLS. ἐν ἄλλῳ υἷος εηος A — 141 ὀψόμεναί γε D. — 143 κυκλοτέχνην S. αἴ κε θέλῃςϊ H. αἴκε θέλῃςιν L Vrat. A. αἴκε θελήςει Vrat. b. d.

---

A. c. λ 530. οὕτως ἀρίςταρχος ἄλλοι δὲ αδινᾶι (sic) Didymus. in textu cod. A scriptum est ἀδινον (ἀδιναν), quum autem scripturae ἀδινὰ, ita enim pro ἀδινᾶι est legendum, alia non possit esse opposita quam ἀδινὸν vel ἁδινόν, haec est lectio Aristarchea. legitur ἁδινὰ ςτεναχίζων Ψ 225. ω 317. ἁδινὰ ςτενάχω Ω 123. η 274. ἁδινὸν praeter hunc locum nusquam. — 138 ἑῆος: ἑοῖο fortasse Zenodotus, conf. A 393. O 138. T 342. Ω 528. 550. H. T. 233. — 142 ἀγορεύςατ': παρὰ Ζηνοδότῳ ἀγορεῦςαι καὶ ὑποφαίνει τὸ ὁμηρικὸν ἔθος Didymus.

υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
ὣϲ ἔφαθ᾽, αἳ δ᾽ ὑπὸ κῦμα θαλάϲϲηϲ αὐτίκ᾽ ἔδυϲαν·
ἡ δ᾽ αὖτ᾽ Οὔλυμπον δὲ θεὰ Θέτιϲ ἀργυρόπεζα
ἤιεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε᾽ ἐνείκαι.
τὴν μὲν ἄρ᾽ Οὔλυμπον δὲ πόδεϲ φέρον· αὐτὰρ Ἀχαιοὶ
θεϲπεϲίῳ ἀλαλητῷ ὑφ᾽ Ἕκτοροϲ ἀνδροφόνοιο
φεύγοντεϲ νῆάϲ τε καὶ Ἑλλήϲποντον ἵκοντο.
οὐδέ κε Πάτροκλόν περ ἐυκνήμιδεϲ Ἀχαιοὶ
ἐκ βελέων ἐρύϲαντο νέκυν, θεράποντ᾽ Ἀχιλῆοϲ·
αὖτιϲ γὰρ δὴ τόν γε κίχον λαόϲ τε καὶ ἵπποι
Ἕκτωρ τε, Πριάμοιο πάιϲ, φλογὶ εἴκελοϲ ἀλκήν.
τρὶϲ μέν μιν μετόπιϲθε ποδῶν λάβε φαίδιμοϲ Ἕκτωρ
ἑλκέμεναι μεμαώϲ, μέγα δὲ Τρώεϲϲιν ὁμόκλα·
τρὶϲ δὲ δύ᾽ Αἴαντεϲ, θοῦριν ἐπιειμένοι ἀλκήν,
νεκροῦ ἀπεϲτυφέλιξαν· ὃ δ᾽ ἔμπεδον ἀλκὶ πεποιθὼϲ
ἄλλοτ᾽ ἐπαΐξαϲκε κατὰ μόθον, ἄλλοτε δ᾽ αὖτε
ϲτάϲκε μέγα ἰάχων· ὀπίϲω δ᾽ οὐ χάζετο πάμπαν.
ὡϲ δ᾽ ἀπὸ ϲώματοϲ οὔ τι λέοντ᾽ αἴθωνα δύνανται

---

V. l. 144 υἶι H, non male. παμπανόωντα H. — 145 ὡϲ A. αἴδ᾽ CDGHL. ὑπο A. αὐτίκ᾽ ἔ H, om. δυϲαν. — 146 ἩΜῈΝΑΡ᾽ Syr. ἤδ᾽ CDGHL. οὔλυμπον δὲ A. ΟΎΛΥΜΠΟΝΔῈ Syr. — 147 ΗΙΕΙΜΕΝΟΦΡΑ Syr. ἐνείκαι ACH Syr. Cant. Lips. Vat. Townl. Frgm. Mosc. Vrat. d. ἐνείκη L. ἐνείκῃ Barocc. Harl. Vrat. b. A. ἐνείκοι DG edd. usque ad Bekkerum. conf. φ 196. Theocr. I, 134. V, 125. eadem lectionis varietas est apud Atticos, conf. Soph. Trach. 774. Frgm. 105, 4. Eurip. Iph. Aul. 724. Rhes. 259. Arist. Eccles. 807. Plat. Phaedr. 279 A. Rep. I, 330 A. Isocr. 15, 10. Xenoph. Conv. 2, 3. Dem. 9, 76. 14. 26. 23, 28. 25. 20, ubi ἐνέγκοι est praeferendum. — 148 ἆρ AGL. οὔλυμπον δὲ A. ΟΥΛΥΜΠΟΝΔῈ Syr. οὔλυμπόν δὲ G. — 149, 150 omitt. H in textu, habet in marg. man. rec. — 149—151 omitt. Frgm. Mosc. — 150 ἑλλίϲποντον G. — 151 οὐδέ κε: ἐν ἄλλῳ οὐδ᾽ ἄρα A. εὐκνήμιδεϲ DH. — 152 νέκυν: ἄνακτα L Lips. ἀχιλλέωϲ D. — 153 αὖθϊϲ C. τόν γε: τόνδε C Townl. — 154 τὲ AC. ἴκελοϲ G. ἶκελοϲ E Draco de Metr. 54, 14. ἶκελοϲ A. ΈΙΚΕΛΟϹ Syr. (ε add. 2. man.). — 155 μετ᾽ ὄπιϲθε A. ποδὸϲ D. — 156 μεμαὼϲ ἐπῖ δὲ H. μετὰ δὲ Et. Mg. 625, 22. Zonar. 1448 τρώεϲϲιν L. — 157 αἴαντε DH Lips. — 158 ἀπεϲτυφάλιξαν C. ὅδ᾽ CDGHL. — 159 omitt. Vrat. A. κατα H. — 160 μέγ᾽ ἰάχων L Lips. — 161 ἀπο A.

---

A. c. 154—156 Ζηνόδοτοϲ γράφει οὕτωϲ· „Ἕκτωρ τε Πριάμοιο πάιϲ ϲυῒ εἴκελοϲ ἀλκήν, ὅϲ μιν τρὶϲ μετόπιϲθε ποδῶν λάβε καὶ μέγ᾽ ἀύτει, ἑλκέμεναι μεμαώϲ, κεφαλὴν δέ ἑ θυμὸϲ ἀνώγει πῆξαι ἀνὰ ϲκόλοπάϲ οἱ ταμόνθ᾽ ἁπαλῆϲ ἀπὸ δειρῆϲ" Aristonicus. — 160 ἰάχων: ἀχέων Zenodotus.

ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεcθαι,
ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυcτὰ
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξαcθαι.
καί νύ κεν εἴρυccέν τε καὶ ἄcπετον ἤρατο κῦδοc,
εἰ μὴ Πηλείωνι ποδήνεμοc ὠκέα Ἶριc
ἄγγελοc ἦλθε θέουc' ἀπ' Ὀλύμπου θωρήccεcθαι,
κρύβδα Διὸc ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη.
ἀγχοῦ δ' ἱcταμένη ἔπεα πτερόεντα προcηύδα·
ὄρcεο Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπιc αἰνὴ
ἕcτηκε πρὸ νεῶν. οἳ δ' ἀλλήλουc ὀλέκουcιν,
οἳ μὲν ἀμυνόμενοι νέκυοc πέρι τεθνηῶτοc,
οἳ δὲ ἐρύccαcθαι ποτὶ Ἴλιον ἠνεμόεccαν
Τρῶεc ἐπιθύουcι· μάλιcτα δὲ φαίδιμοc Ἕκτωρ
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸc ἀνώγει
πῆξαι ἀνὰ cκολόπεccι ταμόνθ' ἁπαλῆc ἀπὸ δειρῆc.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖcο· cέβαc δέ cε θυμὸν ἱκέcθω,
Πάτροκλον Τρῳῇcι κυcὶν μέλπηθρα γενέcθαι·
cοὶ λώβη, αἴ κέν τι νέκυc ᾐcχυμμένοc ἔλθῃ.

V. L. 163 ὦc ῥὰ CDGHL. κορυcταὶ HL Lips. Vrat. A. — 164 ἄπο AG. δειδίξεcθαι D Syr. Townl. conf. Υ 432. — 165 εἴρυcεν L. εἴρυcέν (c supra) CDH Lips. εἴρυcέ E Cant. Townl. ἥρατο EH. — 167 ΟΥΛΥΜΠΟΥ Syr. θωρήcεcθαι H. θωρύccεcθαι G. — 168 ἄλλων τὲ C. προ D. — 169 προcηῦδα D. — 170 ὄρcε Lips. ΕΚΠΑΚΛΟΤΑΤ' Syr. — 171 πατρόκλῳ libri. — 172 προ H. οἳ δ' L. οἵδ' CDH. — 173 οἳ μὲν CD. περι AH. περὶ D. τεθνηῶτοc H Cant. Townl. τεθνηῶτοc (ει supra) S. τεθνειῶτοc (Η supra) A. τεθνειῶτοc C DGL Syr. Lips. edd. vett. — 174 οἳ δὲ CD. ἐρύccεcθαι (α supra) A. ἐρύcαcθαι D Lips. Vrat. A. Rom. προτὶ CDHL Syr. Lips. cum aliis. — 175 τρῷεc L. — 176 τέ ἑ A. ΤΕΕ Syr. δέ γε Cant. Harl. ἀνώγει AC Syr. ἄνωγε GHL Lips. Harl. Mor. Cant. Vat. Vrat. d. Schol. X 397. ἄνωγεν DS. ἐν ἄλλῳ ἄνωγεν A. ἀνώγει ἢ ἄνωγε E. — 177 ἀνα G. ἀπὸ C. ἐπὶ Schol. X 397. ὑπὸ δειρῆc EH. — 178 μὴ δ' ἔτι ACL. μὴ δέ τι GS Vrat. A. μηδέ τι D Frgm. Mosc. ΜΗΔΕΤΙ Syr. μηκέτι Harl. Apollon. de Coni. 500, 5. Apoll. Soph. 30, 20. θυμὸc Apoll. Soph. — 179 τρῳῇcι AL: ceteri τρωῇcι. κυcὶ E Syr. Lips. — 180 αἴ κεν τι A. κέν τοι C. ᾐcχυμένοc L Lips. Vat. Vrat. A. ἔλθοι CE bis Rom. ΕΛΘΗC Syr.

A. c. 171 ἀρίcταρχοc κατὰ γενικὴν πατρόκλου Didymus. retinui dativum libros secutus, quem confirmant Z 361. Θ 414. M 369. N 465. Ξ 357. C 99. — 174 ἠνεμόεccαν: αἰπὺ θέλοντεc Zenodotus transpositis versibus 176. 177. conf. ad 154.

τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἶρι θεά, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;
τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
οὐδ' οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι·
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
ἄλλου δ' οὔ τευ οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
ἀλλὰ καὶ αὐτὸς ὅ γ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
ἔγχεϊ δηιόων περὶ Πατρόκλοιο θανόντος.
τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
εὖ νυ καὶ ἡμεῖς ἴδμεν ὅ τοι κλυτὰ τεύχε' ἔχονται·
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ' ὑποδείσαντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήιοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.

---

V. l. 181 ἀχῖλεύς C. — 182 τίς τ' ἄρ S Cant. ἧκε ACDG Syr. — 185 ΟΥΤ' . . . . . . ΟΥΤΈΤΙΣ Syr. — 186 οὔλυμπον Flor. Rom. ἀγάνιφον Vrat. A. — 187 ἀχῖλεύς C. — 188 πῶς τὰρ AC. ΤΑΡ Syr. τ' ἆρ GL. γὰρ H. πῶς δὴ ἔλθω Eust. μετὰ μόθον C. τεύχε' ἐκεῖνοι ACDEG HL Syr. et Heynii libri. τεύχεα κεῖνοι nullus. — 189 θωρήσεσθαι H. — 191 πάρ' οἰσέμεν CD Frgm. Mosc. Jo. Alex. 28, 16. Schol. Β 150. Ι 456. Σ 400. Φ 588. παρ' οἰσέμεν GL Cram. An. Ox. II, 433, 8. παροισέμεν AH Syr. Townl. Vrat. A. — 192 οὔ τευ οἶδα ACEH Frgm. Mosc. Townl. Lips. Rom. ἀλλ' οὐδ' οὔτευ οἶδα L ἀλλ' οὐδ' οὔτ' εὖ οἶδα D. ἀλλ' οὐδ' οὐδέ τευ οἶδα Ven. B. ἀλλ' οὐδ' εὖ οἶδα Vrat. A. οὔ θην οἶδα GS Cant. Flor. οἶδα μὴ ἂν H. τοῦ ἂν L. — 194 ὅγ' ACDEGHLS Syr. ὅδ' Dindorfius, nescio unde. ἔλπομαι D. ἐνι AD. πρώτοισιν DE 1137, 57 GH LS Syr. τρώεσσιν AC Townl. Frgm. Mosc. ἐνὶ τρώεσσιν ἢ μάλιστα ἐνὶ πρώτοισιν Eust. 1137, 26. ὁμιλεῖν·C Vrat. b. — 195 ἔγχει Flor. περι AH Syr. — 197 ἴσμεν G Flor. ὅτι CG edd. vett. ὅτι ἢ ὅ τοι Eust. τεύχεα G. — 198 αὔτως GH. αὐτως A Syr. αὐτὸς L Lips. τρῴεσσι L. — 199 αἴ κεσ' D. αἴ κεν G Flor. ὑποδείσαντες G: ceteri ὑποδδείσαντες. — 200 τρῷες L. ἀρΐϊ G. hunc et sequentem omitt. Syr. — 201 omitt. S Cant. Vat. Townl. Frgm. Mosc. ἀνάπνευσις: ἀνάπαυσις Harl.

---

A. c. 182 γάρ: τάρ altera Aristarchi, conf. H. T. 359. — 191 πάρ' οἰσέμεν Aristarchus et Herodianus. — 197 κατ' ἔνια καλὰ τεύχε' ἔχονται Schol. A. — 198 αὔτως: αὐτὸς Zenodotus et Aristophanes. — 199 ὑποδείσαντες Aristarchus, cf. H. T. 399.

ἣ μὲν ἄρ' ὣς εἰποῦς' ἀπέβη πόδας ὠκέα Ἶρις,
αὐτὰρ Ἀχιλλεὺς ὦρτο διίφιλος· ἀμφὶ δ' Ἀθήνη
ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσσανόεσσαν,
ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται,
τηλόθεν ἐκ νήσου, τὴν δήιοι ἀμφιμάχωνται,
οἵ τε πανημέριοι στυγερῷ κρίνονται ἄρηι
ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ
γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἀρῆς ἀλκτῆρες ἵκωνται·
ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε.
στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐς Ἀχαιοὺς
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤυς', ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ
ἄστυ περιπλομένων δηίων ὕπο θυμοραϊστέων,

---

V. l. 202 ἣ μὲν, C. ἀρ A. ἄρ DGHL. ὡς AD. — 203 ἀχϊλεὺς CH. διῖ φίλος ACDGHL. ΔΙΙΦΙΛΟC Syr. ἀμφι D. αὐτὰρ ἀθήνη H Syr. Vrat. d. — 204 ὤμοις' H. ἰφθίμοις βάλεν Schol. O 229. θυσανόεσσαν DEGS Lips. Flor. Rom. — 205 ἀμφι D. κεφαλὴν Flor. — 206 δαῖεν Vrat. A. παμφανόωσα L. — 207 ἐξάστεος D. — 208 ἀμφιμάχονται CDEG Syr. ἀμφὶ μάχονται S. „ἀμφὶ μάχονται et ἀμφιμάχονται scribitur" Heyne. — 209 κρίνωνται GH Syr. Vat. Vrat. d. Frgm. Mosc. — 210 καταδῦντι CL. — 211 ὑψόθι Vat. — 212 γίγνεται G Syr. γίνεται ADEHL Lips. Flor. Rom. γίνετ' C. — 213 ΚΕΜΠΩC (N superscr.) Syr. (N 2. man.). ἀρῆς: ἄρεως ADE 1139, 11 HL Syr. Barocc. Frgm. Mosc. ἄρεος CE 1138, 11 GS Lips. Vrat. b. Flor. Rom. τὰ παλαιὰ τῶν ἀντιγράφων ἐκτείνουσιν ἐνταῦθα τὴν λήγουσαν τοῦ ἄρεως Eust. 1139, 13. ἄρηος Vrat. A. — 214 ἀχϊλῆος CD 1. man. Lips. ἵκανε CDEGH. — 215 ἐπι A. ἐπ' ἀχαιοὺς ἢ ἐς ἀχαιοὺς Eust. — 217 δὲ omitt. G. παλὰς L. — 218 αὐτὰρ G Flor. τρῴεσσιν L. τρωσὶν ἂν Harl. ἐνάσπετον ACG. — 219 ἀριζήλῃ φωνῇ D. ὅτι Lips. — 220 ὕπο AD 1. man. ὑπὸ D 2. man. EGHL Syr. θυμοραϊστέων C. θυμοραϊστάων Lips. Vrat. A. θῦμοραϊστῶν H.

---

A. c. 207 οἱ περὶ Διονύσιον τὸν Θρᾷκά φασιν Ἀρίσταρχον πρώτῃ ταύτῃ χρώμενον τῇ γραφῇ μεταθέσθαι καὶ γράψαι „ὡς δ' ὅτε πῦρ ἐπὶ πόντον ἀριπρεπὲς αἰθέρ' ἵκηται" Didymus. — 208 ἀμφιμάχωνται, v. G. Hermannum, Op. II, 55. — 210 Ζηνόδοτος ἄστυ ποτὶ (cod. ποτὲ) σφέτερον Didymus. — 211 ἐπήτριμοι: ἐπητριμοὶ Ptol. Ascalonita, conf. Eust. 1139, 4. — 213 * ἀρῆς: ἀρίσταρχος ἄρεω Didymus, conf. ad v. 100. Eust. 1139, 14.

ὣϲ τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.
οἳ δ' ὡϲ οὖν ἄιον ὄπα χάλκεον Αἰακίδαο,
πᾶϲιν ὀρίνθη θυμόϲ· ἀτὰρ καλλίτριχεϲ ἵπποι
ἂψ ὄχεα τρόπεον· ὄϲϲοντο γὰρ ἄλγεα θυμῷ.
ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
δεινὸν ὑπὲρ κεφαλῆϲ μεγαθύμου Πηλεΐωνοϲ
δαιόμενον· τὸ δὲ δαῖε θεὰ γλαυκῶπιϲ Ἀθήνη.
τρὶϲ μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖοϲ Ἀχιλλεύϲ,
τρὶϲ δὲ κυκήθηϲαν Τρῶεϲ κλειτοί τ' ἐπίκουροι.
ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτεϲ ἄριϲτοι
ἀμφὶ ϲφοῖϲ ὀχέεϲϲι καὶ ἔγχεϲιν. αὐτὰρ Ἀχαιοὶ
ἀϲπαϲίωϲ Πάτροκλον ὑπ' ἐκ βελέων ἐρύϲαντεϲ
κάτθεϲαν ἐν λεχέεϲϲι· φίλοι δ' ἀμφέϲταν ἑταῖροι
μυρόμενοι· μετὰ δέ ϲφι ποδώκηϲ εἵπετ' Ἀχιλλεὺϲ
δάκρυα θερμὰ χέων, ἐπεὶ εἴϲιδε πιϲτὸν ἑταῖρον
κείμενον ἐν φέρτρῳ δεδαϊγμένον ὀξέϊ χαλκῷ.
τόν ῥ' ἦ τοι μὲν ἔπεμπε ϲὺν ἵπποιϲιν καὶ ὄχεϲφιν
ἐϲ πόλεμον, οὐδ' αὖτιϲ ἐδέξατο νοϲτήϲαντα.
    ἠέλιον δ' ἀκάμαντα βοῶπιϲ πότνια Ἥρη
πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰϲ ἀέκοντα νέεϲθαι·
ἠέλιοϲ μὲν ἔδυ, παύϲαντο δὲ δῖοι Ἀχαιοὶ
φυλόπιδοϲ κρατερῆϲ καὶ ὁμοιΐου πολέμοιο.
    Τρῶεϲ δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆϲ ὑϲμίνηϲ
χωρήϲαντεϲ ἔλυϲαν ὑφ' ἅρμαϲιν ὠκέαϲ ἵππουϲ,
ἐϲ δ' ἀγορὴν ἀγέροντο, πάροϲ δόρποιο μέδεϲθαι.

---

V. L. 222 omitt. Barocc. Townl. οἳ δ' GL. οἵδ' CH. οὖν omitt. C. — 223 αὐτὰρ E. — 225 ἔκπληγον HS Vrat. A. — 226 ὕπερ A. — 227 τὸ δὲ δαῖε AC Vrat. d. Frgm. Mosc. τὸ δ' ἔδαιε DEH. τόδ' ἔδαιε GLS. τὸν δ' ἔδαιε Lips. — 228 ὑπὲρ: ὑπ' ἐκ E. ἀπὸ Schol. C 35. ἀχϊλεύϲ C. — 229 δὲ κυκήθηϲαν DEL Syr. Lips. Cant. Vrat. d. A. Schol. C 35. δ' ἐκυκήθηϲαν ACGH Flor. τρῷεϲ L. κλητοί Barocc. — 231 ἀμφι D. ὀχέεϲϲι: ἐν ἄλλῳ ξιφέεϲϲι (cod. ξίφεϲϲι) A. καὶ ἔντεϲιν Vrat. d. — 232 ὑπ' ἐκ EGHL. ὑπὲκ AD 2. man. ὑπεκ CD 1. man. — 233 ἀμφ' ἔϲταϲαν A. ἀμφέϲταϲαν Flor. ἀφέϲταν Lips. — 234 μετα AD. ἀχϊλεύϲ C. — 235 εἴϲῑδε H. — 236 φερέτρῳ G Flor. Et. Mg. 790, 54. — 237 ἵπποιϲι DL Lips. Vrat. A. ὄχεϲφι D Lips. — 238 εἰϲ E Vrat. A. αὖθϊϲ C. — 239 ἐν ἄλλῳ ἠέλιον μὲν ἔπειτα A. — 240 πέμπεν A. Harlei. — 242 πτολέμοιο CDGH Syr. Flor. — 243 τρῷεϲ L. δ' αὖ E Vrat. A. ἀπο H. ἐν ἄλλῳ ἐπὶ θρωϲμῷ πεδιοιο A. — 244 ὑφάρμαϲϊν H.

---

A. c. 222 χάλκεον: χαλκέην Zenodotus. — 230, 231 Ζηνόδοτοϲ γράφει „ἔνθα δὲ κοῦροι ὄλοντο δυώδεκα πάντεϲ ἄριϲτοι οἷϲιν ἐνὶ βελέεϲϲι“ Aristonicus. — 231 ἀμφὶ ϲφοῖϲ Apoll. de Pron. 142 A.

ὀρθῶν δ᾽ ἑϲταότων ἀγορὴ γένετ᾽, οὐδέ τιϲ ἔτλη
ἕζεϲθαι· πάνταϲ γὰρ ἔχε τρόμοϲ, οὕνεκ᾽ Ἀχιλλεὺϲ
ἐξεφάνη, δηρὸν δὲ μάχηϲ ἐπέπαυτ᾽ ἀλεγεινῆϲ.
τοῖϲι δὲ Πουλυδάμαϲ πεπνυμένοϲ ἦρχ᾽ ἀγορεύειν
Πανθοΐδηϲ· ὃ γὰρ οἶοϲ ὅρα πρόϲϲω καὶ ὀπίϲϲω.
Ἕκτορι δ᾽ ἦεν ἑταῖροϲ, ἰῇ δ᾽ ἐν νυκτὶ γένοντο·
ἀλλ᾽ ὃ μὲν ἂρ μύθοιϲιν, ὃ δ᾽ ἔγχεϊ πολλὸν ἐνίκα·
ὅ ϲφιν ἐὺ φρονέων ἀγορήϲατο καὶ μετέειπεν·
ἀμφὶ μάλα φράζεϲθε φίλοι· κέλομαι γὰρ ἐγώ γε
ἄϲτυ δὲ νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
ἐν πεδίῳ παρὰ νηυϲίν· ἑκὰϲ δ᾽ ἀπὸ τείχεόϲ εἰμεν.
ὄφρα μὲν οὗτοϲ ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
τόφρα δὲ ῥηίτεροι πολεμίζειν ἦϲαν Ἀχαιοί·
χαίρεϲκον γὰρ ἐγώ γε θοῇϲ ἐπὶ νηυϲὶν ἰαύων,
ἐλπόμενοϲ νῆαϲ αἱρηϲέμεν ἀμφιελίϲϲαϲ.
νῦν δ᾽ αἰνῶϲ δείδοικα ποδώκεα Πηλεΐωνα·
οἷοϲ κείνου θυμὸϲ ὑπέρβιοϲ, οὐκ ἐθελήϲει
μίμνειν ἐν πεδίῳ, ὅθι περ Τρῶεϲ καὶ Ἀχαιοὶ
ἐν μέϲῳ ἀμφότεροι μένοϲ ἄρηοϲ δατέονται,
ἀλλὰ περὶ πτόλιόϲ τε μαχήϲεται ἠδὲ γυναικῶν.
ἀλλ᾽ ἴομεν προτὶ ἄϲτυ, πίθεϲθέ μοι· ὧδε γὰρ ἔϲται.
νῦν μὲν νὺξ ἀπέπαυϲε ποδώκεα Πηλεΐωνα
ἀμβροϲίη· εἰ δ᾽ ἄμμε κιχήϲεται ἐνθάδ᾽ ἐόνταϲ
αὔριον ὁρμηθεὶϲ ϲὺν τεύχεϲιν, εὖ νύ τιϲ αὐτὸν
γνώϲεται· ἀϲπαϲίωϲ γὰρ ἀφίξεται Ἴλιον ἱρὴν

---

V. ι. 247 ἔχε: ἕλε H Vrat. b. d. A. ἔχε (superscript ‛λ) A. ἀχϊλεύϲ (superscript η) C. — 248 δειρὸν H. ἀπέπαυτ᾽ G Flor. conf. Υ 43. — 250 πανθοΐδηϲ L: ceteri πανθοίδηϲ. ὃ ACDGHL. ὀπίϲω G. — 252 ὁ μὲν ἂν E. ὃδ᾽ D. ὅδ᾽ CGHL. — 253 ὅ, ϲφιν C. ὃ ϲφιν ADH Flor. Rom. ὅϲ ϲφιν GL. OϹϹΦIN Syr. εὖ φρονέων HLS Lips. Flor. ἐΰφρονέων ACG. εὐφρονέων D. — 254 ἀμφι ACDH. φράζεϲθαι G. — 255 ἄϲτυ δὲ ADGL. — 256 ἐμπεδίῳ H. παρα A. ἀπο D. τείχεοϲ εἰμὲν CEGHL. — 257 ANHP᾽ Syr. πολεμίζεϲθ᾽ S. πολεμιζέμεν Vat. — 260 νῆαϲ γ᾽ G. νῆάϲ γ᾽ E Flor. Rom. γ᾽ abest ab omnibus fere libris. — 261 ποδόκεα G. — 262 ἐκείνου ACDEGHL Syr. οὐδ᾽ ἐθελήϲει H Vrat. d. A. — 263 τρῷεϲ L. — 264 ἄρεοϲ AC Ven. B. Harlei. — 265 μαχήϲεται: ἐν ἄλλῳ μαχέϲϲεται A. — 266 προτϊ H. προτιάϲτυ D. πίθεϲθε δέ μ᾽ ὧδε L. ὧδε γὰρ ἔϲται: γρ. ὧϲ γὰρ ἄμεινον L. — 268 οὐδ᾽ ἄμμε S. ЄONTOϹ Syr.

---

A. c. 247 τρόμοϲ: φόβοϲ Zenodotus. conf. T 14. — 262 κείνου Aristarchus, conf. O 94. — 265 μαχήϲεται Aristarchus, non μαχέϲϲεται. — 266 πίθεϲθε: πιθέϲθε Tyrannio teste Schol. V.

ὅϲ κε φύγῃ, πολλοὺϲ δὲ κύνεϲ καὶ γῦπεϲ ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ᾽ οὔατοϲ ὧδε γένοιτο.
εἰ δ᾽ ἂν ἐμοῖϲ ἐπέεϲϲι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῇ ϲθένοϲ ἕξομεν, ἄϲτυ δὲ πύργοι
ὑψηλαί τε πύλαι ϲανίδεϲ τ᾽ ἐπὶ τῇϲ ἀραρυῖαι
μακραὶ ἐύξεϲτοι ἐζευγμέναι εἰρύϲϲονται.
πρῶι δ᾽ ὑπηοῖοι ϲὺν τεύχεϲι θωρηχθέντεϲ
ϲτηϲόμεθ᾽ ἂμ πύργουϲ· τῷ δ᾽ ἄλγιον, αἴ κ᾽ ἐθέλῃϲιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεοϲ ἄμμι μάχεϲθαι.
ἂψ πάλιν εἶϲ᾽ ἐπὶ νῆαϲ, ἐπεί κ᾽ ἐριαύχεναϲ ἵππουϲ
παντοίου δρόμου ἄϲῃ ὑπὸ πτόλιν ἠλαϲκάζων.
εἴϲω δ᾽ οὔ μιν θυμὸϲ ἐφορμηθῆναι ἐάϲει,
οὐδέ ποτ᾽ ἐκπέρϲει· πρίν μιν κύνεϲ ἀργοὶ ἔδονται.
τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προϲέφη κορυθαίολοϲ Ἕκτωρ·
Πουλυδάμα, ϲὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽ ἀγορεύειϲ,
ὃϲ κέλεαι κατὰ ἄϲτυ ἀλήμεναι αὖτιϲ ἰόνταϲ.
ἦ οὔ πω κεκόρηϲθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπεϲ ἄνθρωποι
πάντεϲ μυθέϲκοντο πολύχρυϲον πολύχαλκον·
νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
κτήματα περνάμεν᾽ ἵκει, ἐπεὶ μέγαϲ ὠδύϲατο Ζεύϲ.
νῦν δ᾽ ὅτε πέρ μοι ἔδωκε Κρόνου πάιϲ ἀγκυλομήτεω

V. l. 271 φύγοι S Cant. κῦνεϲ D. γύπεϲ C. — 272 τρῴων L. γένοιντο Harl. — 273 πιθοίμεθα Harl. ἐν ἄλλῳ πιθοίμεθα A. — 275 ϹΑΝΙΔΕϹΔ᾽ Syr. — 276 εὔξεϲτοι H. εἰρύϲονται DEG Syr. — 277 omitt. H in textu. Syr. habet lacunam. ὑπηοῖοι D 1. man. ὑπ᾽ ἠοῖοι AEGH Ammon. de Diff. s. ὄρθροϲ. ὑπ᾽ ἠῷοι Cant. ὑπ᾽ ἠοῖ CL Vrat. A. ἐπ᾽ ἠοῖ Lips. conf. ad Θ 530. — 278 ἀμπύργουϲ ACH Harl. Townl. Mor. Frgm. Mosc. ἂν πύργουϲ D ex corr. E. ἀνπύργουϲ GL Syr. Vrat. d. ἀπύργουϲ D 1. man. κε θέλῃϲιν CDS. ΚΈΘΕΛΗϹΙΝ Syr. — 279 ἐκ νηὸϲ Mor. — 280 ΑΨ᾽ Syr. — 281 ἄϲει C. — 282 ἐάϲϲει C. — 283 κύνεϲ ἠδ᾽ οἰωνοί Schol. A 29. — 284 ἂρ ADGHL. κορυθαιόλοϲ AG Flor. Rom. — 285 οὐκ ἔτ᾽ G. — 286 κέλαι G. αὖθϊϲ C. — 287 ἢ CEGL. ἐερμένοι Vrat. b. ἐεργμένοι Barocc. Mor. Vrat. A. — 288 γὰρ omitt. H. — 290 καλά: πολλά Vat. κατά S. — 291 δὲ δή: ΔΈ ΚΑΊ Syr. μηϊονίην D. ΜΗΟΝΊΗΝ Syr. — 292 ἥκει GS Cant. Lips. Harl. Vrat. b. A. Flor. Rom. ὠδύϲϲατο L. — 293 νῦν δ᾽ ὅτε δὴ L Lips πάιϲ: παῖϲ libri.

A. c. 285 Πουλυδάμα: Πουλυδάμαν Zenodotus, conf. ad Μ 231. Ξ 470. — 287 ὅτι Ζηνόδοτοϲ γράφει κεκόρηϲθον, ϲυγχέων τὸ δυϊκόν Aristonicus. — 292 ἵκει: ἥκει, conf. H. T. 287.

κῦδος ἀρέςθ' ἐπὶ νηυςὶ θαλάςςῃ τ' ἔλςαι Ἀχαιούς,
νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμῳ·
οὐ γάρ τις Τρώων ἐπιπείςεται· οὐ γὰρ ἐάςω.
ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεςθε κατὰ ςτρατὸν ἐν τελέεςςι,
καὶ φυλακῆς μνήςαςθε, καὶ ἐγρήγορθε ἕκαςτος·
Τρώων δ' ὃς κτεάτεςςιν ὑπερφιάλως ἀνιάζει,
ςυλλέξας λαοῖςι δότω καταδημοβορῆςαι,
τῶν τινα βέλτερόν ἐςτιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς.
πρῶι δ' ὑπηοῖοι ςὺν τεύχεςι θωρηχθέντες
νηυςὶν ἔπι γλαφυρῇςιν ἐγείρομεν ὀξὺν ἄρηα.
εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέςτη δῖος Ἀχιλλεύς,
ἄλγιον, αἴ κ' ἐθέλῃςι, τῷ ἔςςεται. οὔ μιν ἐγώ γε
φεύξομαι ἐκ πολέμοιο δυςηχέος, ἀλλὰ μάλ' ἄντην
ςτήςομαι, ἤ κε φέρῃςι μέγα κράτος, ἦ κε φεροίμην.
ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.
ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες κελάδηςαν,
νήπιοι· ἐκ γάρ ςφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη.
Ἕκτορι μὲν γὰρ ἐπήνηςαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔ τις, ὃς ἐςθλὴν φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ ςτρατόν· αὐτὰρ Ἀχαιοὶ
παννύχιοι Πάτροκλον ἀνεςτενάχοντο γοῶντες.
τοῖςι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,

---

V. L. 294 τ' ἔλςαι: τ' ἔλαςαι CG. τ' ὀλλέc' Barocc. Mor. — 295 μή κέ τι L. νοήματα omitt. L. ἐνι D. — 296 τρῴων L. ἐπὶ πείςεται A. — 297 ἐγὼ ACDGHLS Syr. et Heynii libri. recentiores ἐγὼν. — 298 κατα D. τελέεςςι ACDGHL Syr. — 299 ἕκαςτοι Lips. — 300 τρῴων L. 302 τινα ACDH: τινὰ EGL. οὔ περ ἀχαιούς G. — 303 πρωΐ ἢ πρῶϊ E. ὑπηοῖοι H 1. man. Syr. Flor. ὑπ' ἠοῖοι ADEH ex corr. ὑπ' ἠῷοι Cant. ὑπ' ἠοῖ CGL Vrat. A., conf. ad 277. — 304 ἐπὶ ACEGHL Syr. ἐπι D. — 305 δ' omitt. H. παρα A. ἀχϊλεὺς C. — 306 αἴκε θέληιςι D Vrat. A. τὸ ἔςςεται L Lips. ἔγωγε libri. — 307 πολέμου E 1143, 50 1144, 40 L, bene. — 308 ςτήςομαι καί κε H. ἠὲ φεροίμην Vrat. A. ΗΚΕΦΕΡΟΙΤΟ Syr., quod Bekk. 2. recepit. — 309 καὶ τὸν κτενέοντα Lucianus 59, 10. — 310 ὡς AD 1. man. ἝΚΤΩΡ' Syr. ἀγόρευεν G Vrat. A. Flor. Rom. ἐπι D. τρῷες L. — 311 γάρ ςφεων ACEH Syr. γὰρ ςφέων DGL. ΦΡΕΝΑϹ ΕΞΕΛΕΤΟ ΖΕΥϹ Syr. cf. T 137. — 312 ΓᾺΡ' Syr. ἐπήνεςςαν L. ἐπήνεςαν Lips. — 313 δ' ἂρ ADHL. γὰρ Cant. δ' ἀρ οὔτι G. ἄρ' omitt. E. — 314 κατα H. — 315 ἀναςτενάχοντο G. γοῶντες: βοῶντες LS Lips. — 316 αδινοῦ A: ceteri ἀδινοῦ. ἐξήρχε G.

---

A. c. 313 οὔ τις: οὔ τι Epaphroditus teste Schol. V.

χεῖρας ἐπ᾽ ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
πυκνὰ μάλα στενάχων ὥς τε λὶς ἠυγένειος,
ᾧ ῥά θ᾽ ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
ὕλης ἐκ πυκινῆς· ὃ δέ τ᾽ ἄχνυται ὕστερος ἐλθών,
πολλὰ δέ τ᾽ ἄγκε᾽ ἐπῆλθε μετ᾽ ἀνέρος ἴχνι᾽ ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ·
ὣς ὃ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
ὢ πόποι, ἦ ῥ᾽ ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν
Ἴλιον ἐκπέρσαντα, λαχόντά τε ληΐδος αἶσαν.
ἀλλ᾽ οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
αὐτοῦ ἐνὶ Τροίῃ, ἐπεὶ οὐδ᾽ ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς
οὐδὲ Θέτις μήτηρ, ἀλλ᾽ αὐτοῦ γαῖα καθέξει.
νῦν δ᾽ ἐπεὶ οὖν Πάτροκλε σεῦ ὕστερος εἶμ᾽ ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτεριῶ, πρίν γ᾽ Ἕκτορος ἐνθάδ᾽ ἐνεῖκαι
τεύχεα καὶ κεφαλήν, μεγαθύμου σοῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα σέθεν κταμένοιο χολωθείς.

---

V. l. 317 στήθεσιν E. — 318 ΠΟΛΛᾺ ΜΆΛΑ Syr. δηθὰ μάλα Et. Mg. 263, 27. ὥς τε L: vulgo ὥστε. ὥς περ Rom. λῖς G. — 319 ὑπο AHL. ἐλαφηβόλος A. ἁρπάσει CEL. — 320 ὃ δέ τ᾽ G. ὃ δ᾽ ἄχνυται D. — 321 πολλά τ᾽ L. δ᾽ ἔτι L Lips. ἀνέρι Harl. ἀνέρ᾽ Vrat. A. — 322 δριμὶς G. — 323 ὃ ACDGHL. βάρυ στενάχων A: βαρυστενάχων CDEG HL Syr. μετεφώνει AC. γρ. μετεφώνεε A. ΜΥΡΜΙΔΟΝΕϹϹΙ Syr. — 324 ὦ AD. Ὧ Syr. ἥματι G. — 325 μεγάροισι ACDEG Syr. — 326 εἰς-οπόεντα A. — 327 λαχόντά τε solus A. λαχόντα δὲ L. — 329 ἐρεῦσαι: ἐρεύθειν Aeschines adv. Timarchum § 144. — 330 ἐνι AD. οὐδ᾽ ἐμὲ ACDEHL Cant. Mor. Harl. Frgm. Mosc. Vrat. b. d. A: οὐδέ με GS Flor. — 332 ΜΉΤΗΡ᾽ Syr. — 333 ἀλλ᾽ ἐπεὶ οὖν φίλ᾽ ἑταῖρε Aeschines adv. Timarchum § 148. — 334 γ᾽ omitt. S Vrat. A, conf. ad Π 840. ἐνείκαι D. ἐνεῖκαι (ω supra) S. ἐνείκω L Lips. Barocc. Harl. Aeschines l. l. — 335 σοῖο Harl. σεῖο ACDEGHLS Syr. et Heynii libri cum Aesch. adv. Tim. § 148. σοῖο primus recepit Bekkerus. φονέως (ῆο supra) C. — 336 προπάροιθεν D. — 337 τρῴων CL.

---

A. c. 317 διὰ τοῦ σ̄ ἅπασαι ἀνδροφόνους Didymus, conf. Schol. Ψ 18.

τόφρα δέ μοι παρὰ νηυcὶ κορωνίcι κείcεαι αὔτωc,
ἀμφὶ δέ cε Τρῳαὶ καὶ Δαρδανίδεc βαθύκολποι
κλαύcονται νύκτάc τε καὶ ἤματα δάκρυ χέουcαι,
τὰc αὐτοὶ καμόμεcθα βίηφί τε δουρί τε μακρῷ,
πιείραc πέρθοντε πόλειc μερόπων ἀνθρώπων.
ὣc εἰπὼν ἑτάροιcιν ἐκέκλετο δῖοc Ἀχιλλεὺc
ἀμφὶ πυρὶ cτῆcαι τρίποδα μέγαν, ὄφρα τάχιcτα
Πάτροκλον λούcειαν ἄπο βρότον αἱματόεντα.
οἳ δὲ λοετροχόον τρίποδ᾽ ἵcταcαν ἐν πυρὶ κηλέῳ,
ἐν δ᾽ ἄρ᾽ ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλόντεc·
γάcτρην μὲν τρίποδοc πῦρ ἄμφεπε, θέρμετο δ᾽ ὕδωρ.
αὐτὰρ ἐπεὶ δὴ ζέccεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
καὶ τότε δὴ λοῦcάν τε καὶ ἤλειψαν λίπ᾽ ἐλαίῳ,
ἐν δ᾽ ὠτειλὰc πλῆcαν ἀλείφατοc ἐννεώροιο·
ἐν λεχέεccι δὲ θέντεc ἑανῷ λιτὶ κάλυψαν
ἐc πόδαc ἐκ κεφαλῆc, καθύπερθε δὲ φάρεϊ λευκῷ.
παννύχιοι μὲν ἔπειτα πόδαc ταχὺν ἀμφ᾽ Ἀχιλῆα
Μυρμιδόνεc Πάτροκλον ἀνεcτενάχοντο γοῶντεc·
Ζεὺc δ᾽ Ἥρην προcέειπε καcιγνήτην ἄλοχόν τε·
ἔπρηξαc καὶ ἔπειτα βοῶπι πότνια Ἥρη,
ἀνcτήcαc᾽ Ἀχιλῆα πόδαc ταχύν· ἦ ῥά νυ cεῖο

V. L. 338 μοι omitt. E. αὔτωc CDL. αὐτωc A. ΑΥΤΩϹ Syr. αὔτωc GEH et olim vulgo. — 339 ἀμφι D. δέ cε ACDE: vulgo δὲ cὲ. τρωιαὶ AL. ΤΡΩΪΑΙ Syr. τρῳαὶ H: vulgo τρωαὶ. — 340 νύκτάc τε solus A. ἥματα G. δακρυχέουcαι ACDEGHL Syr. — 341 καμόμεθα E bis. βίηφί AEH. — 342 ΠΕΡΘΟΝΤΕϹ Syr. πέρθονται D. πόλιc H 1. man. nunc πόλειc ex corr. — 343 ώc A. ἀχϊλεύc C. — 344 cτήcαι D. — 345 ἄπο AE. ἀπὸ D. ἀπο CGL. ΑΠΟ Syr. ἀπόβροτον H. — 346 οἳ δὲ C. λοετροχόον A. ἔcταcαν HL Lips. κηλείω H. — 347 ἂρ ADEGHL. ΆΡ᾽ Syr. ἔχευαν EG Lips. Flor. χεῦαν L. ὑπο DHL. δαίον D. — 348 ἄφεπε D. — 349 ἐπειδὴ libri: ἐπεὶ L Lips. (om. δὴ). ζέcεν CEGHL Vrat. A. Lips. Flor. ζέcαν D. ἐνιήνοπι A. ἐνι D. ἐν H Harl. Vrat. d. ἐπὶ C Vat. — 351 πλήcαν D. ἐνεώροιο L Lips. ἐννεόροιο G. — 352 ἑανῶ DH. ἑανῷ Flor. Bekk. An. 1226. — 353 ἐc omitt H. καθύπερθεν D. καθ᾽ ὕπερθε A. — 354 ἀχιλλῆα D. — 355 ἀνεcτονάχοντο Vat. ἐcτενάχοντο S. γοώντεc D. — 356 ἥρην προcέειπεν D. ἥρην ἐκάλεccε Plutarchus Quaest. conviv. IX, 1, 2, 3. — 357 βοῶπι ACH. ΒΟΩΠΙϹ Syr. cum ceteris, conf. O 49. — 358 ἀχιλλῆα D. ἦ ῥᾶ νυ D.

A. c. 338 αὔτωc: διὰ τοῦ ᾱ αὐτωc (sic) πᾶcαι εἶχον Didymus. αὔτωc, non αὐτωc scribendum, conf. τ᾽ αὔτωc Γ 20. ἔτ᾽ αὔτοc Ψ 268. οὐκ αὔτωc Ξ 151. — 352 λιτὶ Aristarchus et Herodianus: alii λῖτι. — 356—368 Ζηνόδωροc πειρᾶται ἀποδεικνύναι διεcκευαcμένον τοῦτον τὸν τόπον, ἐπῶν ιγ᾽ Porphyrius.

ἐξ αὐτῆϲ ἐγένοντο κάρη κομόωντεϲ Ἀχαιοί.
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπιϲ πότνια Ἥρη·
αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπεϲ.
καὶ μὲν δή πού τιϲ μέλλει βροτὸϲ ἀνδρὶ τελέϲϲαι,
ὅϲ περ θνητόϲ τ' ἐϲτὶ καὶ οὐ τόϲα μήδεα οἶδε·
πῶϲ δὴ ἐγώ γ', ἥ φημι θεάων ἔμμεν ἀρίϲτη,
ἀμφότερον, γενεῇ τε καὶ οὕνεκα ϲὴ παράκοιτιϲ
κέκλημαι, ϲὺ δὲ πᾶϲι μετ' ἀθανάτοιϲιν ἀνάϲϲειϲ,
οὐκ ὄφελον Τρώεϲϲι κοτεϲϲαμένη κακὰ ῥάψαι;
ὣϲ οἳ μὲν τοιαῦτα πρὸϲ ἀλλήλουϲ ἀγόρευον·
Ἡφαίϲτου δ' ἵκανε δόμον Θέτιϲ ἀργυρόπεζα
ἄφθιτον ἀϲτερόεντα, μεταπρεπέ' ἀθανάτοιϲι,
χάλκεον, ὅν ῥ' αὐτὸϲ ποιήϲατο κυλλοποδίων.
τὸν δ' εὗρ' ἱδρώοντα ἑλιϲϲόμενον περὶ φύϲαϲ,
ϲπεύδοντα· τρίποδαϲ γὰρ ἐείκοϲι πάνταϲ ἔτευχεν
ἑϲτάμεναι περὶ τοῖχον ἐυϲταθέοϲ μεγάροιο,
χρύϲεα δέ ϲφ' ὑπὸ κύκλα ἑκάϲτῳ πυθμένι θῆκεν,
ὄφρά οἱ αὐτόματοι θεῖον δυϲαίατ' ἀγῶνα,
ἠδ' αὖτιϲ πρὸϲ δῶμα νεοίατο, θαῦμα ἰδέϲθαι.
οἳ δ' ἤ τοι τόϲϲον μὲν ἔχον τέλοϲ, οὔατα δ' οὔ πω
δαιδάλεα προϲέκειτο· τά ῥ' ἤρτυε, κόπτε δὲ δεϲμούϲ.

---

V. L. 359 ἐξαυτῆϲ C eraso spiritu D. κάρη κομόωτεϲ ADH: ceteri καρηκομόωντεϲ. — 361 ἔειπαϲ DH. — 362 δήπου τιϲ ADGHL. — 363 ὅϲ που E. θνητόϲ ἐϲτι ADEL Lips. τόϲϲα E. οἶδε ACDEGHL. — 364 ἔγωγ' libri. ἣ φημὶ ACD (ἣ) EGH. ἔμμεν' E. ἔμμεναι D. — 365 τὲ H. — 367 τρῴεϲϲι L. ῥέξαι H Vrat. d. in H suprascr. man. rec. ῥάψαι. — 368 ὡϲ A. οἳ μὲν C. — 369 ἡφαίϲτοιο GS. ἵκανε D. ἶκανε A. — 370 μετὰ πρεπέ' A. ἀθανάτοιϲι ACDEG. — 372 ἱδρόωντα D. ἐλιϲϲόμενον CDG. φύϲϲαϲ CHL Lips. — 373 γὰρ omitt. L Lips. — 374 ἐϲτάμεναι D. τοίχον D. εὐϲταθέοϲ DH Lips. — 375 ὑπόκυκλα C — 376 ὄφρά οἱ ACL. αὐτόμαται S. δυϲαίατ' AC Frgm. Mosc. δυϲέατ' Townl. δύϲονται DGHS. Vrat. A. Flor. Rom. Apoll. Soph. 6, 5. Et. Mg. 15, 52. Cram. An. Par. IV, 87, 12, conf. H 298. δύϲωνται L Lips. δυϲαίατ' ἢ δύϲονται Eust. ἐν ἄλλῳ δύϲονται ἀγῶνα A, conf. Aristot. Polit. I, 4. — 377 ἦδ' D. ἦδ' αὖθϊϲ C. — 378 οἵδ' A. οἵδ' CL. οἳ δὴ τόϲϲον H. οἳ δή τοι Vrat. d. Et. Mg. 750, 40. οἱ δή τοι Schol. X 322. οἱ δ' ἤτοι τόϲον D. vulgo οἱ δ' ἤτοι. — 379 δεϲμὰ Barocc. Mor.

---

A. c. 364 ἐγώ γ': ἐγὼν Zenodotus. — 375 ὑπὸ κύκλα: alii ὑπόκυκλα teste Herodiano, conf. Schol. AB. Cram Ep. 250, 9. Et. Mg. 782, 54. Cram. An. Par. III, 288, 27. Lobeck. Paralip. 384. — 376 δυϲαίατ' ἀγῶνα: ἐν ταῖϲ εἰκαιοτέραιϲ θεῖον κατὰ δῶμα νέοιντο (A νέονται) Schol. AV Townl. apud Cram. An. Par. III, 288, 29.

ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο ἰδυίῃϲι πραπίδεϲϲι,
τόφρά οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτιϲ ἀργυρόπεζα.
τὴν δὲ ἴδε προμολοῦϲα Χάριϲ λιπαροκρήδεμνοϲ,
καλή, τὴν ὤπυιε περικλυτὸϲ ἀμφιγυήειϲ·
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔποϲ τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
    τίπτε Θέτι τανύπεπλε ἱκάνειϲ ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάροϲ γε μὲν οὔ τι θαμίζειϲ.
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.
    ὣϲ ἄρα φωνήϲαϲα πρόϲω ἄγε δῖα θεάων.
τὴν μὲν ἔπειτα καθεῖϲεν ἐπὶ θρόνου ἀργυροήλου,
καλοῦ δαιδαλέου· ὑπὸ δὲ θρῆνυϲ ποϲὶν ἦεν·
κέκλετο δ' Ἥφαιϲτον κλυτοτέχνην εἶπέ τε μῦθον·
    Ἥφαιϲτε, πρόμολ' ὧδε· Θέτιϲ νύ τι ϲεῖο χατίζει.
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸϲ ἀμφιγυήειϲ·
    ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸϲ ἔνδον,
ἥ μ' ἐϲάωϲ', ὅτε μ' ἄλγοϲ ἀφίκετο τῆλε πεϲόντα
μητρὸϲ ἐμῆϲ ἰότητι κυνώπιδοϲ, ἥ μ' ἐθέληϲε
κρύψαι χωλὸν ἐόντα· τότ' ἂν πάθον ἄλγεα θυμῷ,
εἰ μή μ' Εὐρυνόμη τε Θέτιϲ θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
τῇϲι παρ' εἰνάετεϲ χάλκευον δαίδαλα πολλά,
πόρπαϲ τε γναμπτάϲ θ' ἕλικαϲ κάλυκάϲ τε καὶ ὅρμουϲ
ἐν ϲπῆι γλαφυρῷ· περὶ δὲ ῥόοϲ Ὠκεανοῖο

V. L. 380 ταῦτα πονεῖτο L. εἰδυίῃϲι CH 1. man. ἰδίῃϲι S et γρ. ἰδυίῃϲι. εἰδείῃϲι Lips. ἰδύηϲιν D. πραπίδεϲϲι ACDG. — 381 omitt. A et D in textu, Papyrus ab Harrisio repertus (H. T. 446). τόφρά οἱ ACD GH. — 382 ἴδεν HL Schol. Δ 151. προμολοῦϲαν Lips. λιπαροκρήδεμνοϲ A. — 383 ὤπυε DG. περὶ κλῦτὸϲ H. — 384 ἄρά οἱ G. ἄρα οἲ D. ὀνόμαζε ACDGH. — 386 θαμίζοιϲ Vat. — 387 προτέρωι AD, conf. H. U. 186. ἵνά ϲοι H. παρ ACDGH. παρα L. παρὰ Lips. — 388 ὡϲ A. φωνήϲαϲ' ἡγήϲατο S Cant. Vat. — 389 καθῆϲεν CD. ἐπι DH. — 390 ὑπο D. θρήνυϲ DG. — 392 νύ τοι L Lips. — 394 ῥά νυ μοι G. ρα νύ μοι D. ἦ δή μοι Eust. — 396 ἐθέληϲε ACDEH libri Heynii Flor. Rom. ἐθέλεϲκε θ' G. — 398 τε omitt. L. θέτιϲ δ' A. — 399 post hunc scriptus est in D vs. 403, sed man. rec. deletus. — 400 παρεινάετεϲ CDL. πολλά: πάντα Barocc. — 401 πόρπαϲ, omisso τε, LS. πόρπακαϲ γναμπτάϲ Lips. γναπτὰϲ Townl. τ' ἕλικαϲ D. — 402 δὲῤῥόοϲ C.

A. c. 381 ἐν ἄλλῳ καὶ οὗτοϲ εὑρέθη, ἀπέϲτραπτο δέ Schol. A. — 385 Θέτιϲ τανύπεπλοϲ ἱκάνειϲ ἡμέτερον δέ Zenodotus. — 400 πολλά: ζηνόδοτοϲ καὶ ἀριϲτοφάνηϲ δαίδαλα πάντα Didymus.

ἀφρῷ μορμύρων ῥέεν ἄϲπετοϲ· οὐδέ τιϲ ἄλλοϲ
ᾔδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
ἀλλὰ Θέτιϲ τε καὶ Εὐρυνόμη ἴϲαν, αἵ με ϲάωϲαν.
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῶ με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμῳ ζῳάγρια τίνειν.
ἀλλὰ ϲὺ μὲν νῦν οἱ παράθεϲ ξεινήια καλά,
ὄφρ᾽ ἂν ἐγὼ φύϲαϲ ἀποθείομαι ὅπλά τε πάντα.
ἦ, καὶ ἀπ᾽ ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέϲτη
χωλεύων· ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
φύϲαϲ μέν ῥ᾽ ἀπάνευθε τίθει πυρόϲ, ὅπλά τε πάντα
λάρνακ᾽ ἐϲ ἀργυρέην ϲυλλέξατο, τοῖϲ ἐπονεῖτο·
ϲπόγγῳ δ᾽ ἀμφὶ πρόϲωπα καὶ ἄμφω χεῖρ᾽ ἀπομόργνυ
αὐχένα τε ϲτιβαρὸν καὶ ϲτήθεα λαχνήεντα,
δῦ δὲ χιτῶν᾽, ἕλε δὲ ϲκῆπτρον παχύ, βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ᾽ ἀμφίπολοι ῥώοντο ἄνακτι
χρύϲειαι, ζωῇϲι νεήνιϲιν εἰοικυῖαι.
τῇϲ ἐν μὲν νόοϲ ἐϲτὶ μετὰ φρεϲίν, ἐν δὲ καὶ αὐδὴ
καὶ ϲθένοϲ, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴϲαϲιν.

---

V. ʟ. 403 omitt. D in textu, habet in marg. man. rec. — 405 ἔϲαν E 1149, 32 G Flor. Rom. ἦϲαν S: ceteri ἴϲαν. μ᾽ ἐϲάωϲαν libri. — 406 ἡ ACDGHL. ἵκει ACDGH Barocc. Lips. Vrat. b. d. Frgm. Mosc. ἥκει LS edd. vett. τῶ ACGHL. τώ D. τῷ E. χρεὼν C. χρὴ E Harl. Vat. — 407 θέτιν D. — 408 οἳ D, acc. man. rec. ξυνήια Harl. — 409 φύϲϲαϲ HL conf. 372. 412. 468. 470. ὅπλά τε H. ὅπλα τὲ C. — 411 ὑπο ADH. ῥώωντο L. ἀραιαί A. ἀραιαί C. ceteri ἀραιαί cum Apoll. Soph. 139, 29. Hesych. I, 269. II, 497. — 412 φύϲϲαϲ HL. ὅπλά τε CE 1150, 50. — 413 εἰϲ E. ϲυνελλέξατο H. — 414 ἀμφι ACD. πρόϲωπον ἰδ᾽ Barocc. πρόϲωπον Vrat. A. ἀπομόργνυ ADEGH: ἀπεμόργνυ CLS Lips. Frgm. Mosc. Cram. Ep. 440, 31. conf. ρ 304. — 415 αὐχένά τε C. τὲ H. — 417 ὑπο AHL. — 418 ζωιῆιϲι A. νεήνηϲιν D. νεάνιϲιν Schol. Theocr. I, 36. εἰοικυῖαι ACL Et. Mg. 350, 57. Schol. Theocr. I, 36. ἐοικυῖαι DE GH. ἔργ᾽ εἰκυῖαι Schol. Pind. Ol. VII, 95. — 419 ἐϲτὶν ἐνὶ Vrat. b. μετα D. — 420 ἀπὸ GHL. ἀποέργα D.

---

A. c. 404 οὕτωϲ ᾔδεεν. γρ. δὲ καὶ ᾔδειν Didymus. — 407 μετὰ τοῦ ῑ τὸ ζῳάγρια ὁ ἀρίϲταρχοϲ Didymus, conf. H. U. 215. — 410 αἴητον Herodianus cum Ptolem. Ascalonita, προπαροξυτόνωϲ. — 411 δαϲύνεται τὸ ἀραιαί, ita Aristarchus, conf. Schol. Ε 425. — 418 ἐοικυῖα καὶ πλεοναϲμῷ τοῦ ῑ ἰλιάδοϲ ϲ′ Et. Mg. 350, 57. εἰοικυῖαι similes sunt formae οἴιεϲ pro ὄϝιεϲ, οἰέτηϲ ὀλοιόϲ pro ὀϝέτηϲ ὀλοϝόϲ. ἐοικυῖα in fine versus (Θ 305) laudat Athenaeus XIV, 632 et ferri potest, ut ἀπο̄ειπών Τ 35. ἀπο̄έρϲειε Φ 329. ἄρᾱ ᾧ Ρ 196. θυγατέρᾱ ἥν Ε 371. Ζ 192. Λ 226. ϲμερδαλέᾱ ἰάχων Ε 302. ἄρᾱ ἔρξαν Ξ 411.

αἳ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὃ ἔῤῥων
πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τίπτε Θέτι τανύπεπλε ἱκάνεις ἡμέτερον δῶ
αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔ τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί.
τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
τοσσάδ' ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα λυγρά,
ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν;
ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδῃ Πηλῆι, καὶ ἔτλην ἀνέρος εὐνὴν
πολλὰ μάλ' οὐκ ἐθέλουσα. ὃ μὲν δὴ γήραϊ λυγρῷ
κεῖται ἐνὶ μεγάροις ἀρημένος, ἄλλα δέ μοι νῦν.
υἱὸν ἐπεί μοι δῶκε γενέσθαί τε τραφέμεν τε,
ἔξοχον ἡρώων· ὃ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος·
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς,
νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
οἴκαδε νοστήσαντα, δόμον Πηλήιον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων.

V. l. 421 ποίπνυον H. ὃ CDGHL. — 422 ἵζε CHL. ἶζε A. — 423 ἄρά οἱ G. ὀνόμαζε ACDGL. — 425 γέ μεν A. — 426 αὖδα CD. ἄνωγε ADL Lips. ἀνώγει Barocc. Mor. ἐν ἄλλῳ ἀνώγει A conf. H. T. 194. — 427 omitt. Pap. Harris. Syr. habet H in marg. man. rec. scriptum. ἐστὶ C. ἔσται D 1. man. — 428 καταδακρυχέουσα C. καταδακρυχέουσα ADG HL Syr. — 429 ἦδ' ἄρα δή, τῖς H. εἶσ' CGHL. — 430 τόσσαδ' CH. τοσσὰ δ' D. τόσσ' δ' ἐνὶ G. ἐνι D. ἀνέχετο G. — 431 ἔθηκεν EL. — 432 ἁλῖων C. — 433 αἰακῖδϊ C. — 435 ἐνι AD. ἐνϊμμεγάροις H. μεγάροισιν L ex em. — 436 γενέσθαί τε A, conf. H 199. γ 28. τε ante τραφέμεν omitt. C. — 437 ὃ δ' D. ὅδ' GHL. — 438 ώς DG. ἀλωιῆς C. ἀλωῆς Flor. ceteri ἀλωῆς. — 439 ἔπι προέηκα AS cum Schol. C 7. ceteri ὑφ' ἕν. — 440 τρωσὶ L. ὑποδέχομαι H. αὖθις C Mor. Barocc. — 441 omitt. Papyrus Harr. — 442 ζώιη C. ζώῃ Townl. — 443 οὐδέ τι οἱ ACDHL. — 444 ἄρά οἱ L. οἳ D, acc. man. rec.

A. c. 424 Zenodotus Θέτις τανύπεπλος et ἡμέτερον δὲ ut 385. — 436 γενέσθαί τε conf. H. T. 413. 434. — 438 ἀλῳῆς, conf. H. U. 212. — 441 ἔν τισιν οὐκ ἔστι Schol. A. — 444—456 ἀθετοῦνται Aristonicus.

ἦ τοι ὃ τῆϲ ἀχέων φρέναϲ ἔφθιεν· αὐτὰρ Ἀχαιοὺϲ
Τρῶεϲ ἐπὶ πρυμνῆϲιν ἐείλεον, οὐδὲ θύραζε
εἴων ἐξιέναι. τὸν δὲ λίϲϲοντο γέροντεϲ
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ᾽ ὀνόμαζον.
ἔνθ᾽ αὐτὸϲ μὲν ἔπειτ᾽ ἠναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὃ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕϲϲε,
πέμπε δέ μιν πόλεμον δέ, πολὺν δ᾽ ἅμα λαὸν ὄπαϲϲε.
πᾶν δ᾽ ἦμαρ μάρναντο περὶ Ϲκαιῇϲι πύλῃϲι·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱὸν
ἔκταν᾽ ἐνὶ προμάχοιϲι καὶ Ἕκτορι κῦδοϲ ἔδωκε.
τοὔνεκα νῦν τὰ ϲὰ γούναθ᾽ ἱκάνομαι, αἴ κ᾽ ἐθέλῃϲθα
υἱεῖ ἐμῷ ὠκυμόρῳ δόμεν ἀϲπίδα καὶ τρυφάλειαν
καὶ καλὰϲ κνημῖδαϲ, ἐπιϲφυρίοιϲ ἀραρυίαϲ,
καὶ θώρηχ᾽· ὃ γὰρ ἦν οἱ, ἀπώλεϲε πιϲτὸϲ ἑταῖροϲ
Τρωϲὶ δαμείϲ· ὃ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.
    τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα περικλυτὸϲ ἀμφιγυήειϲ·
θάρϲει· μή τοι ταῦτα μετὰ φρεϲὶ ϲῇϲι μελόντων.
αἲ γάρ μιν θανάτοιο δυϲηχέοϲ ὧδε δυναίμην
νόϲφιν ἀποκρύψαι, ὅτε μιν μόροϲ αἰνὸϲ ἱκάνοι,

V. l. 446 ὃ ADGHL. ὃ omitt. C. — 447 τρῷεϲ L. ἐπι A πρύμνῃϲιν libri. — 448 δὲ, λίϲϲοντο CL. δὲ λίϲϲοντο AE Syr. Flor. Rom. δ᾽ ἐλίϲϲοντο DGHS Cant. Vat. δ᾽ ἐλλίϲϲοντο Mor. conf. I, 574. — 450 ἠνήνατο DE 1152, 33 Flor. Rom. ἠνῄνατο S. ἠναίνατο G. ἠναίνετο ACE 1153, 1 HL Mor Barocc. Townl. Vrat. b. Frgm. Mosc. — 451 ὃ ACDGHL. περι AC. τεύχε᾽ D. ἕϲϲε ACDHL Syr. — 452 πόλεμον δὲ AD. ΠΟΛΕΜΟΝΔΈ Syr. πολὺν δέ οἱ C. πολὺν δ᾽ ὅγε S Barocc. Harl. Cant. Mor. ὅπαϲϲε ACDEGHLS. — 453 ἦμαρ D. μάρνατο G. περι AD. πύλῃϲι ACDEGH Syr. — 455 ῥέζοντα H 1. man. ῥέξοντα 2. man. — 456 ἐνι AD. ἐπὶ προμάχων Schol. Z 205. ἔδωκε ACDG Syr. — 457 αἴ κε θέλῃϲθα A. ΑΙΚΈΘΕΛΗϹΘΑ Syr. — 458 υἱεῖ ἔμ᾽ CDL. υἱεῖ ἐμ A. υἱεῖ ἐμ᾽ Mor. Harl. Lips. Vrat. A. Frgm. Mosc. Schol Π 177. ΫΪΕΙΕΜ᾽ Syr. υἷι ἐμ᾽ E. υἷ᾽ ἐμῷ GS Flor. Rom. υἷι ἐμῷ H. υἱεῖ ἐμῷ Vrat. b. A ἐμώκυμόρῳ Et. Mg. 337, 4. δόμεν᾽ CD 2. man. GH. δόμεναι L — 459 κνημῖδαϲ H. ἐπὶ ϲφυρίοιϲ Apoll. de Synt. 91, 10. — 461 τρῳϲὶ L. ὃ δὲ C. ἐπι DH. — 462 ἀμφιγύειϲ G. — 463 μή τι D. μὴ τὶ τοι Lips. μή τϊ τοι C Vrat. A. μετα AD Syr. — 464 αἲ γάρ μοι Mor. Schol. Z 488. — 465 ὅτέ CH. ἱκάνει EGL Syr. Barocc. Vat. ἵκανε Lips.

A. c. 448 δὲ λίϲϲοντο Aristarchus, conf. H. T. 390. — 458 ἔξω τοῦ ῑ τὸ ἐμώκυμόρῳ· ϲυνεκτέθλιπται γὰρ τῷ ῶῑ τὸ ῑ Didymus, conf. H. U. 282.

ὥc οἱ τεύχεα καλὰ παρέccεται, οἷά τιc αὖτε
ἀνθρώπων πολέων θαυμάccεται, ὅc κεν ἴδηται.
ὣc εἰπὼν τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύcαc·
τὰc δ' ἐc πῦρ ἔτρεψε κέλευcέ τε ἐργάζεcθαι.
φῦcαι δ' ἐν χοάνοιcιν ἐείκοcι πᾶcαι ἐφύcων,
παντοίην εὔπρηcτον ἀυτμὴν ἐξανιεῖcαι,
ἄλλοτε μὲν cπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
ὅππωc Ἥφαιcτόc τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα καccίτερόν τε
καὶ χρυcὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα, γέντο δὲ χειρὶ
ῥαιcτῆρα κρατερήν, ἑτέρηφι δὲ γέντο πυράγρην.
ποίει δὲ πρώτιcτα cάκοc μέγα τε cτιβαρόν τε
πάντοcε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινήν,
τρίπλακα μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.
πέντε δ' ἄρ' αὐτοῦ ἔcαν cάκεοc πτύχεc· αὐτὰρ ἐν αὐτῷ

---

V. l. 466 ὥc οἳ D 2. man. (1. man. οἱ). ὡc οἳ H. — 467 θαυμάcεται CGL Lips. Cant. Mor. — 468 ὡc A. φύccαc HL. — 469 ἐπὶ πῦρ ἔτρεψεν H Vrat. d. ἔcτρεψε L Vrat. d. κέλευcε δὲ L. — 470 φύccαι L. φῦccαι H. φύcαι C. ἐφύccων GHL Lips. χοάνεcι πᾶcαι ἐφύcων ἐείκοcι D. —
π
473 ὅπωc D. ὅπωc Flor. Et. Gud. 61, 47. τε θέλοι HL Vrat. d. τ' ἐθέλει Vrat. b. γ' ἐθέλοι GDS Harl. Vat. Flor. Cram. Epim. 16, 30. Et. Gud. 61, 47. τ' ἐθέλοι ACE Rom. ἄνυτο Cant. Barocc. Lips. Frgm. Mosc. Et. Gud. 61, 47. ἔργ' ἀνύοιτο Cr. Ep. 16, 30. — 474 βάλεν CD Vrat. A. βάλλε H. — 475 τιμήεντα H. — 476 ἐν: ἐπ' CS Cant. Barocc. Mor.
π
Eust. 1150, 57. θῆκε δ' ἐπ' Apoll. Soph. 19, 22. ἐν A ἐπ' ἢ ἐν Eust. 1153, 54. ἐν DGHL Syr. — 477 κρατερήν LS Syr. Cant. Barocc. Mor. Harl. Vat. Vrat. A. Lips. Frgm. Mosc. Apoll Soph. 138, 12. Herodianus
ο
περὶ μον. λέξ. 16, 27. κρατερήν A. κρατερὴν ἢ κρατερόν Eust. 1153, 54, conf. 1154, 25. κρατερόν CDGH. ἑτέρηφι CE Zonar. Lex. 433. δὲ,
λ
γέντο H. — 478 μέγά τε C. — 479 δαιδάλων G. περὶ CH. βάλε D. βάλε Lips. Flor — 480 habet H in marg. man. rec. ἐκ δ' ACDEGS Syr. ἐν δ' HL Lips. Mor. Vrat. A. — 481 ἆρ ADEGHL. ἐναυτῶι A. ἐν ἢ ἐπ' Eust.

---

A. c. 466 παρέccεται: παρὰ Ζηνοδότῳ καὶ ἀριcτοφάνει παρέξομαι Didymus. — 471 διὰ τοῦ c̄ εὔπρηcτον. τινὲc δὲ διὰ τοῦ κ̄ εὔπρηκτον Didymus. εὔπρηcτον ut εὐξέcτῳ Π 402. εὔπρυμνοc Δ 248. εὔδμητοc υ 302. εὐφραδήc τ 352. εὐφραίνω Ο 99. Ρ 28. Ω 102. β 311. κ 465. υ 8, conf. H. U. 96. G. Herm. ad Hymn. in Apoll. 36. alii ἐύπρηcτον male. — 477 παρὰ Ζηνοδότῳ κρατερόν διὰ τοῦ ō Didymus. Zenodotum sequitur Grashofus „das Hausgeräthe bei Homer“ pg. 11. adn. 11. — 481 ἓν ἐcτι τὸ αὐτοῦ Schol. A; alii igitur αὖ τοῦ.

ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν,
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληιάδας θ' Ὑάδας τε, τό τε σθένος Ὠρίωνος
ἄρκτόν θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
καλάς. ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν εἰλαπίναι τε,
νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει·
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
ὠρώρει, δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
ἀνδρὸς ἀποφθιμένου· ὃ μὲν εὔχετο πάντ' ἀποδοῦναι
δήμῳ πιφαύσκων, ὃ δ' ἀναίνετο μηδὲν ἑλέσθαι·
ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι.

---

V. L. 482 εἰδυίῃισϊ C Vrat. A. ΠΟΛΛΕΙΔΥΙΗΙCΙ Syr. πόλλ' εἰδυίῃσι Schol. Pind. Nem. IV, 95, conf. Eust. 1154, 35. πραπίδεσιν E. — 483 ἓν μὲν . . ἐν δ' . . . ἓν δὲ A. γαῖαν τεῦξ' Vrat. b. A. τεῦξεν Eust. 1153, 60 — .485 ἐν δέ τε L Lips. Harl. ἐν δέ τ' ἀτείρεα D. ceteri ἐν δὲ τὰ cum Athenaeo XI, 490. Schol. C 468. Euseb. Praep. Ev. XIII, 13, 26. Heracl. Alleg. c. 48. — 487 ἄρκτόν A. ἅμαξαν CEGHL Athenaeus XI, 490. ΚΑΛΕΟΥCΙ Syr. — 489 ἄμμορος ἐστὶ L. — 490 δύο Eust. 1155, 12. 1157, 5. — 491 μὲν ῥὰ GL. — 492 ὑπὸ AG Schol. Pind. Ol. IV, 3. ΥΠΟ Syr. ὑπολαμπομενάων CDEHL. — 493 ἀνὰ: κατὰ S Flor. Apoll. Soph. 82, 13. — 496 ἐπι D. — 497 ἔνθάδε D. ἔνθαγε L. — 498 δύω G. — 499 ὃ μὲν C. — 500 πιφάσκων Vrat. A. ὃ δ' D. ὅδ' CGH. — 501 omitt. L. ἰέσθην G. ἶέσθην A. ἵστορι G. ἐπιίστωρ πίαρ ἑλέσθαι Apoll. Soph. 93, 2. πεῖραν ἑλέσθαι S.

---

A. c. 483—608 Ζηνόδοτος ἠθέτηκεν ἀπὸ τούτου τοῦ στίχου τὰ λοιπά, ἀρκεσθεὶς τῷ κεφαλαιώδει προεκθέσει Aristonicus. — 485 οὐρανὸς ἐστεφάνωται: Ζηνόδοτος οὐρανὸν εστηρικη (sic! Bekk. ἐστήρικται). ἀρίσταρχος οὐρανὸν ἐστεφάνωκε Didymus. — 489 οἴη: οἶος Crates apud Strab. I, 3. conf. Apoll. Soph. 29, 14. — 492 ἐκ θαλάμων: Ζηνόδοτος ἐς θαλάμους, καὶ ἔστιν οὐκ ἀπίθανος ἡ γραφή Didymus. — 499 ἀποφθιμένου: παρὰ Ζηνοδότῳ ἀποκταμένου καὶ ἐν ταῖς πλείσταις. καὶ ἔστιν οὐκ ἀπίθανος ἡ γραφή Didymus. — 501 ἑλέσθαι: παρὰ Ζηνοδότῳ ἀρέσθαι Didymus.

λαοὶ δ' ἀμφοτέροιςιν ἐπήπυον, ἀμφὶς ἀρωγοί.
κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
εἵατ' ἐπὶ ξεςτοῖςι λίθοις ἱερῷ ἐνὶ κύκλῳ,
ςκῆπτρα δὲ κηρύκων ἐν χέρς' ἔχον ἠεροφώνων·
τοῖςιν ἔπειτ' ἤιςςον, ἀμοιβηδὶς δὲ δίκαζον.
κεῖτο δ' ἄρ' ἐν μέςςοιςι δύω χρυςοῖο τάλαντα,
τῷ δόμεν, ὃς μετὰ τοῖςι δίκην ἰθύντατα εἴποι.
τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω ςτρατοὶ εἵατο λαῶν
τεύχεςι λαμπόμενοι. δίχα δέ ςφιςιν ἥνδανε βουλή,
ἠὲ διαπραθέειν ἢ ἄνδιχα πάντα δάςαςθαι,
κτῆςιν ὅςην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
οἱ δ' οὔ πω πείθοντο, λόχῳ δ' ὑπὸ θωρήςςοντο.
τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
ῥύατ' ἐφεςταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας.
οἱ δ' ἴςαν· ἦρχε δ' ἄρα ςφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
ἄμφω χρυςείω, χρύςεια δὲ εἵματα ἕςθην,
καλὼ καὶ μεγάλω ςὺν τεύχεςιν ὥς τε θεώ περ,

V. l. 504 εἵατ' CD. ἐπι A λίθοιςι D. ἐνι D. — 505 ἠεροφώνων A. — 506 τοῖςι δ' ἔπειτ' Vrat. d. ἀμοιβηδὸν Harl. Vrat. A. δὲ δίκαζον AS Cant. δ' ἐδίκαζον CDEGHL Et. Mg. 85, 43. Apoll. Soph. 27, 13. — 507 ἂρ ADEGHL. μέςοιςι G Lips. δύω: δύο EHL Flor. Rom. Heynii libri excepto Cant. Et. Mg. 744, 24. Photii Lex. 416. Bachm. Anecd. I, 380, 21. Suidas II, 2, 1021, 1; 1022, 5. conf. H. U. 46. — 508 μετα A. τοῖςιν D Flor. δίκην omitt. H. εἴποι AEH Barocc. Mor. Townl. Vrat. b. d. Frgm. Mosc. εἴπῃ CDGL. — 509 ἀμφι D. δύο CEHL: δύω ADG. εἵατο CD. — 510 λαμπομένω Harl. Vat. δέ ςφιν S Cant. Harl. Jo. Alex. 33, 13. δίχα φρεςὶν Et. Mg. 279, 53. ἥνδανε DH et C altero spiritu addito. — 512 ἐέργει CDGHS Eust. 1187, 32. ἔεργ$^{ει}$εν A. ἐέργ$^{ε}$ει L. ἔεργεν E Mor. Barocc. Townl. Lips. Vrat. b. A. Rom. ἐέργοι est coniectura Bekkeri, quem secuti sunt recentiores. — 513 οἵδ' GHL. ὑπὸ θωρήςςοντο Vrat. d.: ὑποθωρήςςοντο H Frgm. Mosc. ceteri, in his ACDEGLS, ὑπεθωρήςςοντο cum Schol. C 509. — 514 φίλαι omitt. L Lips. — 515 μετα CH. ἀνέρας D. — 516 οἱ δ' D. οἵδ' CGHL. — 517 ἥςθην D. ἧςτο H. — 518 μεγάλῳ G. θεός περ D. θεῶ΄ περ H.

A. c. 502 ἀμφοτέροιςιν: παρὰ Ζηνοδότῳ καὶ ἀριςτοφάνει ἀμφοτέρωθεν. ἡ μαςςαλιωτικὴ ἀμφοτέρωθεν ἐποίπνυον (cod. ἐπίπνυον) ἀμφὶς ἀρωγοί Didymus. — 506 ἀμοιβηδὶς: ἀρίςταρχος ἀμοιβηδόν ὡς κλαγγηδόν, κατὰ τάξιν τῆς ἡλικίας Didymus. — 513 ὑπὸ θωρήςςοντο scripsi cum librorum parte propter caesuram bucolicam, ut πολέας διὰ ‖ κοιρανέοντα Δ 230. μάχης ἐκ ‖ νοςτήςαντε Є 137. Ρ 207. Ω 705. πολέμον κάτα ‖ κοιρανέουςιν Є 332. μάχης ἐξ ‖ ἀποδίωμαι Є 763. πεδίον κάτα ‖ δηριάαςθαι Π 96. ποδῶν ὕπο | ςείετο ὕλη Ξ 285. ἕλος κάτα ‖ βουκολέοντο Υ 221. πόλεμον μέτα ‖ θωρήςςοντο Υ 329. Κικόνων ὕπο ‖ δηωθέντες ι 66. conf. α 247. ν 377. π 424. τ 48. φ 346. ψ 290. C 492.

ἀμφὶϲ ἀριζήλω· λαοὶ δ' ὑπ' ὀλίζονεϲ ἦϲαν.
οἳ δ' ὅτε δή ῥ' ἵκανον ὅθί ϲφιϲιν εἶκε λοχῆϲαι,
ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸϲ ἔην πάντεϲϲι βοτοῖϲιν,
ἔνθ' ἄρα τοί γ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῷ.
τοῖϲι δ' ἔπειτ' ἀπάνευθε δύω ϲκοποὶ εἵατο λαῶν,
δέγμενοι ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικαϲ βοῦϲ.
οἳ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆεϲ
τερπόμενοι ϲύριγξι· δόλον δ' οὔ τι προνόηϲαν.
οἳ μὲν τὰ προϊδόντεϲ ἐπέδραμον, ὦκα δ' ἔπειτα
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλαϲ καὶ πώεα καλὰ
ἀργεννέων οἰων, κτεῖνον δ' ἐπὶ μηλοβοτῆραϲ.
οἳ δ' ὡϲ οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουϲὶν
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντεϲ ἀερϲιπόδων μετεκίαθον, αἶψα δ' ἵκοντο.
ϲτηϲάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθαϲ,
βάλλον δ' ἀλλήλουϲ χαλκήρεϲιν ἐγχείῃϲιν.
ἐν δ' Ἔριϲ, ἐν δὲ Κυδοιμὸϲ ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ,
ἄλλον ζωὸν ἔχουϲα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον ἕλκε ποδοῖιν·

V. ι. 519 ὑπ' ὀλίζονεϲ CH Townl. Vrat. d. ὑπ' ολίζονεϲ A. ὑπολίζονεϲ DEGL cum plerisque. — 520 οἵδ' CHL. ὅθί ϲφϊϲϊν CD. ὅθι ϲφϊϲϊν H. ceteri ὅθι ϲφίϲιν, conf. H. T. 413. Ι 99. Λ 807. Ξ 134. Ψ 138. Ω 96. εἶκε G. εἶκε λοχῆϲαι διὰ διφθόγγου ἔχουϲι τὰ τῶν ἀντιγράφων ἀκριβέϲτερα Eust. 1160, 19. — 521 βοτοῖϲι G Flor. Rom. — 522 ἵζονθ' είλυμένοι C. — 523 δύω ACDEG Barocc. Frgm. Mosc. δύο HLS Vrat. A. edd. ante Barnesium. — 525 οἳ δὲ C. — 526 τερπομένω Vrat. A. — 528 ἀγέλην Et. Mg. 746, 43. πώεα μήλων Apoll. Soph. 150, 14. Cram. An. Ox. III, 255, 30. — 529 * ἀργεννέων: vulgo ἀργεννῶν cum Apoll. Soph. 41, 30. ἀργενῶν D. ἀργενάων Mor. οἴων G. ἐπιμηλοβοτῆραϲ CH, conf. ἐπιβουκόλοϲ, ἐπιποιμένεϲ, ἐπιβώτωρ, ἐπίουροϲ. — 530 οἳ δ' D. οἵδ' CGHL. παρὰ: περὶ L Lips. Barocc. — 531 εἰράων AH man. rec. Harl. Mor. Vat. Frgm. Mosc. Et. Gud. 170, 55: ἱράων DG Lips. Et. Mg. 475, 12. Apoll. Soph. 92, 22. ἱράων CEH 1. man. LS Ven. B. Zonaras Lex. 1120. Suidas I, 2, 1067, 2. — 532 ἀερϲιπόδων A. μετεκείαθον D. ἵκοντο D. — 535 ἒν A ter. δ' ὀλοὸν κῆρ Plutarchus adv. Coloten 11, 6. — 537 τεθνηῶτα DH Cant. Mor. Barocc. Lips. Townl. Vrat. b. d. τεθνηῶτα L. τεθνειῶτα CEG Vrat. A. Schol. Ϲ 483. 535. Heracl. Alleg. c. 48. Plutarchus Plat. Quaest. 4, 1. κατα A. ἕλκε libri. ἔλκε D.

A. c. 526 τερπόμενοι: ἀριϲτοφάνηϲ δυϊκῶϲ τερπομένω Didymus. — 528 πώεα καλά: παρὰ Ζηνοδότῳ πῶυ μέγ' οἰῶν Didymus. — 529 ἀργεννέων scripsi ex coniectura, conf. ad Λ 69. — 531 ὅτι εἶραϲ λέγει τὰϲ ἀγοράϲ, ϲχηματίζων ἀπὸ τοῦ εἴρειν ὅ ἐϲτι λέγειν Aristonicus. Aristarchus igitur εἰράων scripsit. — 537 ἀρίϲταρχοϲ τεθνηιῶτα (sic) Didymus.

εἷμα δ' ἔχ' ἀμφ' ὤμοιϲι δαφοινεὸν αἵματι φωτῶν.
ὡμίλευν δ' ὥϲ τε ζωοὶ βροτοὶ ἠδὲ μάχοντο,
νεκρούϲ τ' ἀλλήλων ἔρυον κατατεθνηῶταϲ.
ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν,
εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρεϲ ἐν αὐτῇ
ζεύγεα δινεύοντεϲ ἐλάϲτρεον ἔνθα καὶ ἔνθα.
οἳ δ' ὁπότε ϲτρέψαντεϲ ἱκοίατο τέλϲον ἀρούρηϲ,
τοῖϲι δ' ἔπειτ' ἐν χερϲὶ δέπαϲ μελιηδέοϲ οἴνου
δόϲκεν ἀνὴρ ἐπιών· τοὶ δὲ ϲτρέψαϲκον ἀν' ὄγμουϲ
ἱέμενοι νειοῖο βαθείηϲ τέλϲον ἱκέϲθαι.
ἡ δὲ μελαίνετ' ὄπιϲθεν, ἀρηρομένῃ δὲ ἐῴκει
χρυϲείη περ ἐοῦϲα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.
ἐν δ' ἐτίθει τέμενοϲ βαθυλήιον· ἔνθα δ' ἔριθοι
ἤμων ὀξείαϲ δρεπάναϲ ἐν χερϲὶν ἔχοντεϲ.
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πῖπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρεϲ ἐν ἐλλεδανοῖϲι δέοντο.
τρεῖϲ δ' ἄρ' ἀμαλλοδετῆρεϲ ἐφέϲταϲαν· αὐτὰρ ὄπιϲθε

V. L. 538 εἶμα D. — 539 ὡμίλεον Harl. Frgm. Mosc. non male. ὡμίλευν D. ἦδ' D. ἠδὲ μάχοντο L: ceteri ἠδ' ἐμάχοντο. — 540 κατατεθνηῶταϲ L. κατατεθνειῶταϲ (η superscr.) A. κατατεθνειῶταϲ CEG. — 541 ἐν A. δὲ τίθει DE 1153, 59. 1155, 12. 1161, 11. Frgm. Mosc. Vrat. b. — 542 εὐρείαν D. — 543 ἐλάτρεον S. ἐλάϲτρευον Lips. ἐλάϲτεον Vrat. d. — 544 οἳ δ' D. οἵδ' CGHL. τρέψαντεϲ Harl. Vat. ἰκοίατο D. — 546 οἱ δὲ GLS Cant. Harl. Vrat. b. d. Flor. δὲ, ϲτρέψαϲκον C. δ' ἐϲτρέψαϲκον D. δὲ τρέψαϲκον H Harl. Vat. Vrat. d. ἀνόγμουϲ A. — 547 ἱέμενοι CD. ἱκέϲθαι D. — 548 δ' ἐμελαίνετ' S. ἀρηρεμένηι A. τινὰ τῶν ἀντιγράφων ἀρηρεμένη διὰ τοῦ ε̄ Eust. 1161, 64. — 549 περι D. πέρϊ H. θαῦμα τέτυκτο ACDEHLS 1. man. Vat. Vrat. b. d. A. Lips. Frgm. Mosc. θαῦμ' ἐτέτυκτο S ex corr. θαῦμα ἐτέτυκτο G. — 550 ἐν A. δὲ τίθει D Eust. 1153, 59. 1155, 13. 1162, 1. Vrat. b. A. βαθυλήϊον H. βαθὺ λήιον, ὅ τινεϲ ὑφ' ἓν βαθυλήϊον ἀναγινώϲκουϲιν Eust. 1162, 19. βαϲιλήϊον AC 1. man. G Ven. B. Frgm. Mosc. γρ. τέμενοϲ βαθὺ λήϊον A. ἐνθάδ' D. — 551 ἤμων GH. ὀξεῖαϲ C. — 552 πίπτον ACGL Apoll. Soph. 72, 6. πῖπτον E. πίπτεν DH (Vrat. d.). — 553 ἀμαλλοδετῆρεϲ A. εἰλεδανοῖϲι GL Lips. Flor. ἀμαλλοδετῆρεϲ ἐφέϲταϲαν αὐτὰρ ὄπιϲθε D. hunc et sequentem in unum contraxit H ἄλλα δ' ἀμαλλοδετῆρεϲ ἐφέϲταϲαν αὐτὰρ ὄπιϲθεν. — 554 δὲ ἀμαλοδετῆρεϲ G. ὄπιϲθε ACG (D 553). τρεῖϲ γὰρ ἀμαλλοδετῆρεϲ ἐν ἠλλεδανοῖϲι (1. man. ἐλλεδανοῖϲι) δέοντο D.

A. c. 538 ἐν τῇ μαϲϲαλιωτικῇ εἵματ' ἔχε Didymus. — 540 κατατεθνηῶταϲ: ἀρίϲταρχοϲ διὰ τοῦ η̄ Didymus. — 549 οὕτωϲ ἀρίϲταρχοϲ τέτυκτο ἰακῶϲ Didymus. — 551 ἐν δέ τιϲιν ἐγράφετο μετὰ τὸν „ἤμων ὀξείαϲ δρεπάναϲ", καρπὸν Ἐλευϲίνηϲ Δημήτεροϲ ἀγλαοδώρου Schol. C 483. τινὲϲ προϲγράφουϲι ϲτίχον τοῦτον „καρπὸν Ἐλευϲίνηϲ Δημήτεροϲ ἀγλαοδώρου" Eust. 1156, 57.

παῖδεϲ δραγμεύοντεϲ, ἐν ἀγκαλίδεϲϲι φέροντεϲ,
ἀϲπερχὲϲ πάρεχον· βαϲιλεὺϲ δ᾽ ἐν τοῖϲι ϲιωπῇ
ϲκῆπτρον ἔχων ἑϲτήκει ἐπ᾽ ὄγμου γηθόϲυνοϲ κῆρ.
κήρυκεϲ δ᾽ ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
βοῦν δ᾽ ἱερεύϲαντεϲ μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκεϲ
δεῖπνον ἐρίθοιϲιν λεύκ᾽ ἄλφιτα πολλὰ πάλυνον.
ἐν δ᾽ ἐτίθει ϲταφυλῇϲι μέγα βρίθουϲαν ἀλῳήν,
καλὴν χρυϲείην· μέλανεϲ δ᾽ ἀνὰ βότρυεϲ ἦϲαν,
ἑϲτήκει δὲ κάμαξι διαμπερὲϲ ἀργυρέῃϲιν.
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ᾽ ἕρκοϲ ἔλαϲϲε
καϲϲιτέρου· μία δ᾽ οἴη ἀταρπιτὸϲ ἦεν ἐπ᾽ αὐτήν,
τῇ νίϲϲοντο φορῆεϲ, ὅτε τρυγόῳεν ἀλῳήν.
παρθενικαὶ δὲ καὶ ἠίθεοι ἀταλὰ φρονέοντεϲ
πλεκτοῖϲ ἐν ταλάροιϲι φέρον μελιηδέα καρπόν.
τοῖϲιν δ᾽ ἐν μέϲϲοιϲι πάιϲ φόρμιγγι λιγείῃ
ἱμερόεν κιθάριζε, λίνον δ᾽ ὑπὸ καλὸν ἄειδε
λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήϲϲοντεϲ ἁμαρτῇ
μολπῇ τ᾽ ἰυγμῷ τε ποϲὶ ϲκαίροντεϲ ἕποντο.

---

V. l. 555 δραγματεύοντεϲ S Mor. ἐναγκαλΐδεϲϲϊ H. ἀγκαλίδεϲι D. 557 ἑϲτήκει ACE 1156, 57 G: εἱϲτήκει E 1162, 8 HL Lips. εἰϲτήκει D. ἐπόγμου D. ὄγμον G Vat. Flor. — 560 ἐρίθοιϲι CEG Flor. Rom. πόλλ᾽ ἐπάλυνον H. πάλυναν D. πόλλ᾽ ἄλφιτα λεύκ᾽ ἐπάλυνον Frgm. Mosc. — 561 ἐν A. ἔνθ᾽ G. δὲ τίθει D Vrat. b. d. A. E 1153, 60. 1155, 13. sed δ᾽ ἐτίθει 1162, 54. δε τίθει H. μεταβρΐθουϲαν H. ἀλῳήν AH. — 562 ἀνα ACDH. ἄρα Barocc. Mor. — 563 ἑϲτήκει AEGS cum aliis: εἱϲτήκει CL Frgm. Mosc. Vrat. d. Et. Mg. 487, 44. Schol. Υ 271. εἰϲτήκει DH. κάμαξη G. ἀργυρέοιϲιν CS Barocc. Harl. Frgm. Mosc. — 564 ἀμφι D. περῒ H. ἕρκοϲ AD. ἔλαϲϲε ACDEG Schol. Υ 271. — 565 ἀταρπητὸϲ CDL. ἐπαυτῇ D. ἐπαυτῇν S. ἐπ᾽ αὐτῇ Frgm. Mosc. adscripto ῷ. — 566 τηνήϲϲοντο G. νείϲοντο ADL. νείϲϲοντο Harl. Lips. Townl. Vrat. b. A. τὴν εἴϲϲοντο Vrat. d. νίϲοντο C Frgm. Mosc. νείϲϲοντο (ι superscr.) H. νίϲϲοντο E Cram. Ep. 424, 11. ἀλῳήν AH. ἀλωήν C. vulgo ἀλωήν ut 561. — 567 παρθενικαί τε καὶ Rhet. Gr. III, 86, 6. — 568 πλεκτοῖϲι ταλάροιϲι Vat. conf. ι 247. — 569 τοῖϲι CE in H est ἐν pro τοῖϲιν. — 570 ἡμερόεν D. λῖνον G. ὑπο ADHL. ἄειδε ACDEGHL. — 571 λεπαλέηι C. λεπτείῃ Vrat. A. πρήϲϲοντεϲ Harl. Vat. ἀμαρτῆι A. ἀμαρτῇ D. ὁμαρτῇ A in marg. EG. ὁμαρτῇ CHLS. — 572 ἕποντο D.

---

A. c. 557 ἔξω τοῦ ῑ τὸ ἑϲτήκει αἱ ἀριϲτάρχου Didymus. — 563 ζηνόδοτοϲ ἀργυρέοιϲιν Didymus. — 565 ἐϲ αὐτήν παρὰ Ζηνοδότῳ, καὶ ἔχει λόγον ἡ γραφή Didymus. — 566 νίϲϲοντο, conf. H. T. 316. — 568 ἀρίϲταρχοϲ ταλάροιϲι καὶ πλεκτοῖϲι Didymus, an πλεκτοῖϲιν ταλάροιϲι? μελιηδέα κάρπον: οὕτωϲ αἱ Ἀριϲτάρχου Schol. V, quod scholium ad scripturam πλεκτοῖϲιν ταλάροιϲι videtur pertinere, conf. H. T. 393. — 570 λίνον Aristarchus: Zenodotus λίνοϲ.

ἐν δ' ἀγέλην ποίηϲε βοῶν ὀρθοκραιράων·
αἱ δὲ βόεϲ χρυϲοῖο τετεύχατο καϲϲιτέρου τε,
μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεϲϲεύοντο νομόν δὲ
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα.
χρύϲειοι δὲ νομῆεϲ ἅμ' ἐϲτιχόωντο βόεϲϲι
τέϲϲαρεϲ, ἐννέα δέ ϲφι κύνεϲ πόδαϲ ἀργοὶ ἕποντο.
ϲμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτηϲι βόεϲϲι
ταῦρον ἐρύγμηλον ἐχέτην· ὃ δὲ μακρὰ μεμυκὼϲ
ἕλκετο· τὸν δὲ κύνεϲ μετεκίαθον ἠδ' αἰζηοί.
τὼ μὲν ἀναῤῥήξαντε βοὸϲ μεγάλοιο βοείην
ἔγκατα καὶ μέλαν αἷμα λαφύϲϲετον· οἱ δὲ νομῆεϲ
αὔτωϲ ἐνδίεϲαν ταχέαϲ κύναϲ ὀτρύνοντεϲ.
οἳ δ' ἤ τοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
ἱϲτάμενοι δὲ μάλ' ἐγγὺϲ ὑλάκτεον ἔκ τ' ἀλέοντο.
ἐν δὲ νομὸν ποίηϲε περικλυτὸϲ ἀμφιγυήειϲ
ἐν καλῇ βήϲϲῃ μέγαν οἰῶν ἀργεννάων,
ϲταθμούϲ τε κλιϲίαϲ τε κατηρεφέαϲ ἰδὲ ϲηκούϲ.
ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸϲ ἀμφιγυήειϲ,

V. l. 573 ἐν A. ὀρθοκεράων D. — 574 χρυϲεῖο C. τετεύχαται Schol. O 187. — 575 νομὸν δὲ A Apoll. Soph. 102, 21. νομῆνδε Vrat. A. — 576 παρ D. παρὰ DEHL Townl. Vrat. d. A. Frgm. Mosc. Et. Mg. 283, 12. παραὶ CS Cant. Vat. Harl. περὶ G. παραροδανὸν A. ἐν ἄλλῳ ῥαδαλὸν A, ita Hesychius sub δόνακα et ῥαδαλόν. οἱ δὲ γράφουϲι ῥαδαλόν Eust. 1165, 19. ῥάδαλον Schol. N 458. — 577 βόεϲϲι ACDEG. — 578 ϲφῖν H. — 579 ϲμερδαλέο G. ϲμαρδαλέω S. ϲμερδαλέω τε L. δύω πρώτηϲι L Lips. ἐν πρώτοιϲι AD 1. man. Vat. Barocc. Frgm. Mosc. Vrat. b. βόεϲϲι ACDEGHL. — 580 ἐρίγμηλον S Lips. Vrat. b. A. ἐρίμυκλον L. ἔχετον Harl. ὃ δὲ C. — 581 μετεκείαθον D. μετακίαθον Barocc. — 582 ἀναρήξαντε AD, bene. ἀναρρήξαντεϲ H. μεγάλοιο βύρϲην. H Vrat. d. e glossa. — 584 αὔτωϲ EGH Schol. C 162. Ψ 475. αυτωϲ A. ἐνδίεϲαν A. ἐν δ' ἵεϲαν L Lips. ἐνδίεϲϲαν D. ὀτρύναντεϲ D Mor. Flor. Apoll. Soph. 68, 22. — 585 οἳ δ' D. οἵδ' CG. οἳ δή τοι H. οἱ δή τοι Lips. Vrat. d. Frgm. Mosc. vulgo οἱ δ' ἤτοι. — 587 ἐν A. — 589 ἰδὲ: ἠδὲ Lips. Schol. Є 137. τε ἢ ἰδὲ Eust. — 590 ἐν A.

A. c. 576 παρὰ ῥοδανὸν Aristarchus: παρὰ ῥαδαλὸν Aristophanes. διὰ ῥαδαλὸν Zenodotus. conf. Et. Mg. 701, 52. ῥοδανὸν vel ῥαδανὸν Heracleo, conf. Et. Mg. 702, 10. alii ῥοανόν teste Schol. BV, qui Zenodoto scripturam κραδαλόν tribuit. Ζηνόδοτοϲ ῥοδανόν Schol. Townl. apud Cram. An. Par. III, 290, 4. φηϲὶ δὲ Διονύϲιοϲ γράφεϲθαι καὶ δονακῆεν Didymus. — 579 ϲμερδαλέω δὲ λέοντε: ἐν τῇ ἑτέρᾳ τῶν ἀριϲτάρχου δύο πρώτηϲι βοέϲϲι. παρὰ δὲ Ζηνοδότῳ κυανέω (cod. κυάνεον) δὲ λέοντε Didymus. Ζηνόδοτοϲ κυάνεοι δὲ λέοντεϲ [ἐνὶ] Schol. Townl. apud Cram. An. Par. III, 290, 5. — 581 τὸ δὲ ἕλκετο χωρὶϲ τοῦ ῑ Didymus. τὸν δὲ: παρὰ Ζηνοδότῳ τοὺϲ δέ, τοὺϲ λέονταϲ Didymus. — 584 αὔτωϲ: οὕτωϲ Zenodotus. ἐνδίεϲαν: ἐνδΐεϲαν Ptolem. Ascalonita.

τῷ ἴκελον, οἷόν ποτ᾽ ἐνὶ Κνωϲῷ εὐρείῃ
Δαίδαλοϲ ἤϲκηϲεν καλλιπλοκάμῳ Ἀριάδνῃ.
ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεϲίβοιαι
ὠρχεῦντ᾽ ἀλλήλων ἐπὶ καρπῷ χεῖραϲ ἔχοντεϲ.
τῶν δ᾽ αἳ μὲν λεπτὰϲ ὀθόναϲ ἔχον, οἳ δὲ χιτῶναϲ
εἵατ᾽ ἐυννήτουϲ, ἦκα ϲτίλβονταϲ ἐλαίῳ·
καί ῥ᾽ αἳ μὲν καλὰϲ ϲτεφάναϲ ἔχον, οἳ δὲ μαχαίραϲ
εἶχον χρυϲείαϲ ἐξ ἀργυρέων τελαμώνων.
οἳ δ᾽ ὁτὲ μὲν θρέξαϲκον ἐπιϲταμένοιϲι πόδεϲϲι
ῥεῖα μάλ᾽, ὡϲ ὅτε τιϲ τροχὸν ἄρμενον ἐν παλάμῃϲιν
ἑζόμενοϲ κεραμεὺϲ πειρήϲεται, αἴ κε θέῃϲιν·
ἄλλοτε δ᾽ αὖ θρέξαϲκον ἐπὶ ϲτίχαϲ ἀλλήλοιϲι.
πολλὸϲ δ᾽ ἱμερόεντα χορὸν περιίϲταθ᾽ ὅμιλοϲ
τερπόμενοι· μετὰ δέ ϲφιν ἐμέλπετο θεῖοϲ ἀοιδὸϲ
φορμίζων· δοιὼ δὲ κυβιϲτητῆρε κατ᾽ αὐτοὺϲ
μολπῆϲ ἐξάρχοντοϲ ἐδίνευον κατὰ μέϲϲουϲ.

V. L. 591 ἴκελον CGHL. οἷον D. ἐνι A. κνωϲῷ AC: κνωϲϲῷ DEG HL Athenaeus V, 181. Rhet. Gr. III, 104, 23. Herodianus περὶ ϲχημάτων ed. Dind. 64, 13. abhinc usque ad vs. 602 ἀθετεῖ Tzetzes Alleg. 762. — 592 ἤϲκηϲε C Vrat. A. καλιπλοκάμωι CD. — 593 ἠίθεοϲ Apoll. Soph. 24, 1. ἀλφεϲίβοιαι A. — 594 ἐπι A. ἐνὶ H Vrat. d. ἔχουϲαι Athen. V, 181. — 595 αἳ μὲν C. εἶχον D. οἳ δὲ C. — 596 εἵατο GL Lips. εἶχον E Rom. ἐϋννήτουϲ ACE 1166, 57: εὐνήτουϲ DE 1165, 62 GHL Lips. Barocc. Cant. Mor. Harl. Vat. Townl. Vrat. b. d. A. Frgm. Mosc. — 597 οἱ μὲν Schol. B 67. ϲτεφάνουϲ S. οἳ δὲ C. — 598 ἔχον H. — 599 οἵδ᾽ CDGHL. ὅτε DE 1166, 2; 40. πόδεϲϲι ACEG. — 600 τῖϲ C. ἅρμενον CGH Flor. Et. Mg. 769, 48. ἁρμενον A. — 601 θέῃϲι H Et. Mg. 769, 49. αἴ κε θέλῃϲι Vrat. d. Flor. αἴ κε θέλῃϲιν Lips. αἴκ᾽ ἐθέλῃϲιν Harl. — 602 ἀλλήλοιϲι ADEG. — 603 πολλὸν Cant. — 604 τερπόμενοϲ Mor. Athenaeus V, 181 bis. μετὰ δέ ϲφιν — φορμίζων omittunt libri. — 605 δύω D. κυβϊϲτητῆρεϲ D. κυβιϲτῆρεϲ Townl. κυβηϲτῆρε HL. καταυτούϲ H. — 606 ἐξάρχοντεϲ ACDEGL et Heynii libri. ἐξάρχοντε H. ἐδίνεον E 1166, 8 Rom. Frgm. Mosc. κατα A.

A. c. 592 παρὰ Ζηνοδότῳ ἀριήδνῃ Didymus. — 597, 598 ἀθετοῦνται. οὐδὲ παρὰ Ἀριϲτοφάνει ἦϲαν Schol. A. — 604 ὁ δ᾽ Ἀρίϲταρχοϲ οὐ μόνον εἰϲ τὸ τοῦ Μενελάου ϲυμπόϲιον ἐμβαλὼν οὓϲ οὐ προϲῆκε ϲτίχουϲ (δ 15—19) καὶ τῆϲ Λακώνων παιδείαϲ ἀλλότριον ἐποίηϲε καὶ τῆϲ τοῦ βαϲιλέωϲ ϲωφροϲύνηϲ, ἀλλὰ καὶ τοῦ κρητικοῦ χοροῦ τὸν ᾠδὸν ἐξεῖλεν, ἐπιτεμὼν τὰ ποιήματα τὸν τρόπον τοῦτον „πολλὸϲ δ᾽ ἱμερόεντα χορὸν περιίϲταθ᾽ ὅμιλοϲ τερπόμενοϲ· δοιὼ δὲ κυβιϲτητῆρε κατ᾽ αὐτοὺϲ μολπῆϲ ἐξάρχοντεϲ ἐδίνευον κατὰ μέϲϲουϲ.“ ὥϲτ᾽ ἀνίατον γενέϲθαι παντάπαϲι τὸ ἐξάρχοντεϲ, μηκέτι δυναμένηϲ τῆϲ ἐπὶ τὸν ᾠδὸν ἀναφορᾶϲ ϲώζεϲθαι Athenaeus V, 181 c, conf. V, 180 d. adn. ad δ 15—19. — 605 καθ᾽ αὐτοὺϲ Diodorus Aristophaneus apud Athen. V, 180 e. — 606 ἐξάρχοντοϲ: ἐξάρχοντεϲ Aristarchus, cf. Athen. l. l.

ἐν δ' ἐτίθει ποταμοῖο μέγα cθένοc Ὠκεανοῖο
ἄντυγα πὰρ πυμάτην cάκεοc πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε cάκοc μέγα τε cτιβαρόν τε,
τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸc αὐγῆc,
τεῦξε δέ οἱ κόρυθα βριαρὴν κροτάφοιc ἀραρυῖαν,
καλὴν δαιδαλέην, ἐπὶ δὲ χρύcεον λόφον ἧκε,
τεῦξε δέ οἱ κνημῖδαc ἑανοῦ καccιτέροιο.
αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸc ἀμφιγυήειc,
μητρὸc Ἀχιλλῆοc θῆκε προπάροιθεν ἀείραc.
ἣ δ' ἴρηξ ὣc ἆλτο κατ' Οὐλύμπου νιφόεντοc
τεύχεα μαρμαίροντα παρ' Ἡφαίcτοιο φέρουcα.

---

# ΙΛΙΑΔΟϹ Τ.

Ἠὼc μὲν κροκόπεπλοc ἀπ' Ὠκεανοῖο ῥοάων
ὤρνυθ', ἵν' ἀθανάτοιcι φόωc φέροι ἠδὲ βροτοῖcιν·
ἣ δ' ἐc νῆαc ἵκανε θεοῦ πάρα δῶρα φέρουcα.
εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱόν,
κλαίοντα λιγέωc· πολέεc δ' ἀμφ' αὐτὸν ἑταῖροι
μύρονθ'. ἣ δ' ἐν τοῖcι παρίcτατο δῖα θεάων,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔποc τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·

---

V. L. 607 ἐν A. δὲ τίθει Eust. 1153, 60. 1155, 13; sed δ' ἐτίθει 1167, 29; 46. — 608 παρ C. παρ' D. — 609 ἐπειδὴ libri. ἐπεὶ L Lips. omisso δή. — 610 ἄρά οἱ C. οἳ D. αὐγῆc: αὐτῆc H. — 611 κυνέην βριαρὴν G Barocc. Flor. βριαρὴν omitt. L. βαρὺν Lips. — 612 ἐπὶ δὲ χρύcειον H. ἧκε ACDEG. — 613 κνημίδαc H. ἑανοῦ H Flor. — 615 ἀχϊλῆοc C. θῆκεν A. — 616 ἡ δ' L. ἥδ' CDGH. ἴρηξ GL Flor. male, conf. ὥc τ' ἴρηξ N 62. ὑπ' ἴρηκοc Φ 494. τ' ἴρηκεc ε 66. ὡc A. ἆλτο C. ἫΔ' ΟΙΡΗΞ ΩϹ ΑΛΤῸ ΚΑΤΟΥΛΥΠΟΥΝΗΦΟΈΛΠΟϹ Papyrus ab Harrisio repertus, conf. H. T. 446. — 617 τεύχεα καλὰ φέρουcα παρ' ἡφαίcτοιο ἄνακτοc EH Townl. Frgm. Mosc. Vrat. b. d. A. Τ[ЄΥΧЄ]ΑΚΑΛ[Α]ΦЄΡΟΥϹΑ ΠΆΡ ΗΦΑ[Ι]Ϲ[Τ]ΙΟΑΝΑΚΤΟϹ Pap. Harris. γρ. τεύχεα καλὰ φέρουcα παρ' ἡφαίcτοιο ἄνακτοc A.

---

V. L. 1 ἀπ': ἐπ' Harl. — 2 φέρη L. φέρῃ Harl. Lips. φέρει DG. βροτοῖcι DH. — 3 ἥδ' CDGHL. πάρα ACDG: παρὰ HL. — 4 περικείμενον A. πέρι κείμενον L Apoll. de Synt. 308, 20. Bekk. Anecd. 924, 30. ceteri περικείμενον cum Schol. T 284. Jo. Alex. 26, 22. — 5 λιγαίωc D. πολλοὶ E. — 6 μύροντο D. ἥδ' CDGHL. δία D. — 7 ἐν G. ὀνόμαζε ACDGHL.